MASTER NEGATIVE
NO. 93-81603-3

Funded by the
NATIONAL ENDOWMENT FOR THE HUMANITIES

AUTHOR:

BARELAS, IOANNES ANASTASIOU

TITLE:

HO HORISMOS TES PSYCHES KATA TAS...

PLACE:

LEIPSIA

DATE:

[1878]

Master Negative #

93-81603-3

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

Barelas, Iōannēs Anastasiou, 1848–

Ὁ ὁρισμὸς τῆς ψυχῆς κατὰ τὰς Ἀριστοτελείους ἀρχάς ... Λειψία, τύποις Β. Δρούγουλιν [1878]

108 p. 22½ cm.

Inaug.-diss.—Leipzig.
Vita.
"Βοηθητικαὶ συγγραφαί" : p. [5]

Title transliterated: Ho horismos tēs psychēs kata tas Aristoteleious archas.

1. Aristoteles.


11-15820

Library of Congress B491.P8B2


Restrictions on Use:


TECHNICAL MICROFORM DATA

FILM SIZE: 35mm REDUCTION RATIO: 11x
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 7/21/93 INITIALS BAP
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT




AIIM









Centimeter
1 2 3 4 5 6 7 8 9 10 11 12 13 14 15 mm
1 2 3 4 5
Inches







Ο ΟΡΙΣΜΟΣ ΤΗΣ ΨΥΧΗΣ

ΚΑΤΑ

ΤΑΣ ΑΡΙΣΤΟΤΕΛΕΙΟΥΣ ΑΡΧΑΣ

ΔΙΑΤΡΙΒΗ

ΠΡΟΣ

ΕΠΙΤΕΥΞΙΝ ΤΟΥ ΔΙΔΑΚΤΟΡΙΚΟΥ ΔΙΠΛΩΜΑΤΟΣ

ΥΠΟ

ΙΩΑΝΝΟΥ Α. ΒΑΡΕΛΑ

ΕΝ ΛΕΙΨΙΑ ΤΗ 15 ΙΟΥΝΙΟΥ 1878

ΛΕΙΨΙΑ
ΤΥΠΟΙΣ Β. ΔΡΟΥΓΟΥΛΙΝ

ΙΩΑΝΝΗΣ ’ΑΝΑΣΤΑΣΙΟΥ ΒΑΡΕΛΑΣ ’Αχαρνεύς, γεννηθεὶς τῷ 1848· ἔτει δὲ τῷ δεκάτῳ ἄκων τὸν πατρῷον οἶκον λιπών, μέτοικος ἐν ’Αθήναις ἦν παιδείας ἀτελοῦς ἀπολαύων. Πόθῳ μὴν τῆς τῶν γονέων στοργῆς, καὶ τῆς τῶν ἀδελφῶν φιλτάτης ὁμιλίας, ἀπορίᾳ τε τῶν ἀναγκαίων, ἠμέλουν τῶν μαθημάτων καὶ ἀπιὼν ᾠχόμην εἰς γῆν τὴν γεννέτειραν, τὰ παρόντα στέργων τοῦ δὲ μέλλοντος ὀλιγωρῶν, ἔτει τῷ τρισκαιδεκάτῳ τῆς ἡλικίας. Τούτοις οὖν οὑμὸς πατὴρ δυσχεραίνων, ἐπεὶ παραινῶν οὐκ ἔπειθεν, ἀξίνην καὶ δρέπανον, ἀγρούς θ’ ἅμα καὶ ἀμπελῶνας ἆθλα τῆς ἀνοίας μοι προὔθετο, καὶ ἀναμετρῶν τὴν ἐμήν δύναμιν μικρὰν ἀνακούφισίν μοι παρεῖχε, δοκῶν τοῦτον τὸν τρόπον ἔρωτα πρὸς τὰ γράμματα ἐμφυτεῦσαι ἐμοι· ὄντως δ’ οὐκ ἠστόχησεν· ἅλις γὰρ τῶν καμάτων καὶ κόρος τοῦ πατρῴου οἴκου ὑπερβάλλοντος τοῖς πόνοις· καὶ δὴ θέρους ὥρᾳ, ἱδρῶτι στάζων καὶ στενάζων ὑφ’ ‘Ηλίου πυρφόροις αὐγαῖς, καταβάλλω ἐν μέσῳ ἀμητῷ τὸ δρέπανον, καὶ ἀποδρὰς προσέρπω ἱκέτης τῷ προϊσταμένῳ τῆς ἐν τῷ πάλαι Κυνοσάργει τῶν ’Ασωμάτων μονῆς Νεκταρίῳ τοὐπίκλην, ἀνδρὶ σώφρονι καὶ φίλῳ τῶν ἀγαθῶν, προσφέρων ἐμαυτὸν χρήσασθαι πρὸς τὰς χρείας, καὶ τὸν λοιπὸν χρόνον ῥαστώνην μοι παρασχεῖν πρὸς τὸ ἐγκύψαι μελέταις. Οὗτος οὖν, εἰδώς, ὡς δοκεῖ, τὴν τοῦ πατρὸς προαίρεσιν, καὶ χαριζόμενος αὐτῷ, καθὸ ξένος ἐκ μακροῦ χρόνου, παραλαμβάνει με ὑπουργοῦντα αὐτῷ, καὶ ταῖς τῆς μονῆς χρείαις προσαρκοῦντα. Εν’ τούτοις οὖν οἷα ἀνάντη καὶ ἀμμώδη ὁδὸν ἀναβαίνων ἐχώρουν εἰς γραμμάτων λειμῶνας, μέχρις οὗ τῇ τ’ ἐμῇ θεραπείᾳ οὑμὸς κηδεμὼν καὶ ταῖς τοῦ πατρὸς παρακλήσεσιν ἐνδούς, ἐπέτρεψέ μοι εἰς τὴν ’Εκκλησιαστικὴν ‘Ριζάρειον Σχολὴν φοιτᾷν. πλὴν ἅπας ὀδυνηρός ἀνθρώπων βίοτος κ’ οὐκ ἔστι πόνων ἀνάπαυσις· ἣ γὰρ λιμήν μοι εὔδιος ἐδόκει, ταύτῃ δεινός με χειμὼν κατέλαβεν. ‘Η ἀρχὴ τῆς μονῆς ἑτέροις ἐμοί τε καὶ τοὐμῷ προστάτῃ δυσμενέσι περιῆλθε, πρὸς δὲ νόσῳ περιπεσὼν τριετίαν ὅλην κατατρύχων τὸν βίον διήγαγον, μέχρις οὗ ἕτερος αὖ τῆς μονῆς προέστη φιλος τῶν γραμμάτων δοκῶν, καὶ πολλὰ ἐπαγγελλόμενος ἀνορθῶσαι. ’Εντεῦθεν οὖν παντὶ πόνῳ διανύσας τὰ ὡρισμένα ἔτη κατέλαβον τὸ πανεπιστήμιον καὶ τῇ θεολογίᾳ προσωμίλουν. Καὶ τέως μὲν τλητὰ τὰ ἐντῇμονῇ, εἶτα δ’ οὐκ οἶδ’ ὅπως τῇ δυσμενείᾳ τοῦ προεστῶτος περιπεσών, ὠθούμην ἀπ’ αὐτῆς καὶ οὐχ ἱκανῆς σχολῆς ἀπήλαυον· διὸ καταλιπὼν ἑκὼν τὴν μονὴν ᾤκουν ἐν ’Αθήναις ἀνετώτερόν πως διδασκόμενός τε καὶ διδάσκων πρὸς τὸ τὰ πρὸς τὸ ζῆν πορίσασθαι, (χάριν δ’ ὁμολογῶ τῷ Παναγιώτῃ Κυριακῷ δημάρχῳ ’Αθηναίων

καὶ τῷ Περικλεῖ Πετράκῃ, μέγα ταῖς ἐμαῖς ἀνάγκαις ἐπαρκέσασιν). Ἐν' τούτῳ δὲ τῷ χρόνῳ Νικόδημος Σακελλαριάδης, Συμεὼν Κοροβέσης, καὶ Ἀρτέμιος Τσιριγώτης προϊστάμενοι τῆς εἰρημένης μονῆς, τῇ τ' αὖ συνδρομῇ τοῦ ὑπουργοῦ τῶν Ἐκκλησιαστικῶν Δ. Καλλιφρονᾶ, ᾑρετίσαντό με καὶ ἔπεμψαν εἰς Γερμανίαν, ἑστίαν νῦν τῶν ἐπιστημῶν δοκοῦσαν, ὅπως μεμυημένος ᾧ καὶ τὰ τῆς εὐρωπαϊκῆς ἐν λόγοις δεινότητος, ὡς ἔθος εν' τοῖς χρόνοις τούτοις παρ' ἡμῖν ἐστιν.

Ἐν' τοῖς ἐσχάτοις δὲ τῆς φοιτήσεώς μου χρόνοις συνεχῶς μοι ἐγγίνεται πόθος περὶ ψυχῆς σκέψασθαι, ἅτε οὐχ ἱκανῶν δοκούντων τῶν τέως τοῖς διδάσκουσιν εἰρημένων οὐδὲ μὴν πάντως που τῶν τοῦ Πλάτωνος πειθόντων, ὅμως δ' οὐδέποτ' ἐρρωμένως τῆς σκέψεως ἐπειλημμένος ἦν, οἷάπερ ἀκαίρως ἐπιχειρῶν ἴσως· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἱστορικοὶ δέλεαρ προβάλλοντες, καὶ ποιηταὶ ἐνθουσιῶντες, καὶ Κύπρις ὑπομειδιῶσα, καὶ θεολόγοι ἀμέτρως ὑπαντιάζοντες, καὶ ἐμαί τε καὶ τῶν ἐμῶν ἀνάγκαι καὶ περιπέτειαι ἐμποδὼν ἦν καὶ μικρόν τι σχολῆς μοι παρεῖχον. Ἐν Λειψίᾳ δέ μοι διατρίβοντι, ᾗ μοί τι μεῖζον ῥαστώνης μέτεστι τοῖς τοῦ Ἀριστοτέλους ἐνέτυχον συγγράμασιν (πρότερον γάρ μόνης τῆς ῥητορικῆς μόλις ἡμμένος ἦν), ὧν ἐραστὴς ἐγενόμην καὶ μετὰ δεινὰς δυσχερείας ἠρξάμην τὰ περὶ ψυχῆς διερευνῆσαι. Ἐπεὶ δ' οὐ πάνυ τι ἀκριβὲς περὶ τοῦ ὁρισμοῦ τῆς ψυχῆς ἐν πονήμασι πολλοῖς εὕρισκον, προειλόμην προτάξαι τινὰ ὡς οἷόν τε συντόμως περὶ ὁρισμοῦ, εἶτα δὲ τὴν καθ' αὑτὸ σκέψιν ποιήσασθαι· ἐν ταύτῃ δὲ μεῖζον ἐνδιέτριψα οὐ μόνον αὐτῆς ταύτης τῆς σκέψεως χάριν, ἀλλὰ καὶ τῇ περατέρᾳ ζητήσει προοδοποιεῖν τούτῳ τῷ τρόπῳ ἡγησάμενος.

ΒΟΗΘΗΤΙΚΑΙ ΣΥΓΓΡΑΦΑΙ.

Ἀριστοτέλην ἐκδ. Ἐμμ. Βέκκερ ἐν Βερολίνῳ 1831.

Θεοδ. Βάϊτσ «ὄργανον» ἐν Λείψίᾳ 1844.

I. Κίρχμανν μετάφρ. Μεταφυσικῆς ἐν Βερολίνῳ 1871.

Ἀδόλφ. Τόρστρικ «Ἀριστ. π. ψυχῆς» ἐν Βερολίνῳ 1862.

Εὐγ. Ἔβερχαρδ «Die Arist. Definition u. ihr Werth f. d. Gegenwart.» ἐν Βερολίνῳ 1868.

Βερνάρδ. Σναϊδερ «Unsterblichkeitslehre des Aristoteles.» Passau 1867.

Ἑρμ. Σελλ (Schell) «Die Einheit des Seelenlebens aus den Principien der Arist. Philosophie entwickelt.» Freiburg 1873.

Ἑρμ. Βόνιτσ «Μεταφυσικά» ἐν Βόννῃ 1848.

Θεοφράστου «τὰ ἔργα» ἐκδ. F. Wimmer π. τ. Didot. 1864.

Ἰούλ. Βάλτερ «Die Lehre von der praktischen Vernunft in der griechischen Philosophie.» Jena 1874.

Χριτ. Βράνδις «Gesch. der griechisch-römischen Phil.» ἐν Βερολίνῳ 1853.

I. Φρόϋδενταλ «Ueber den Begriff des Wortes *φαντασία* bei Arist.» Göttingen 1863.

Κωνστ. Σλόττμανν «Das Vergängliche u. Unvergängliche in d. menschl. Seele nach Arist.» Halle 1873.

Σχόλια εἰς τ. μ. τ. Φυσικὰ ὑπὸ X. Βράνδις συλλ. ἐν Βερολίνῳ 1836.

Φ. Β. I. Σέλιγγα, τῶν ἔργων αὐτοῦ μέρ. Β΄. τόμ. α΄.

Ἕρμ. Σείβεκ «Arist. et Herbart. doctrinae psychologiae quibus rebus inter se congruant. Halle 1872.

Γ. Ἑρτλιγκ «Materie u. Form u. d. Definit. d. Seele bei Arist.» Bonn 1871.

Τρενδελεμβούργ «de anima.» Jena 1863.

Ἀνσιϊών «Recherches critiques et philos. sur l'entelechie d'Ἀριτ. 1805. Πραγμ. τ. βασιλ. ἀκαδ. τῶν ἐπιστ. ἐν Βερολίνῳ. 1804—11.

Ὕβερβεγ «ἱστορ. τ. φιλοσ.» ἐν Βερλίνῳ 1876.

Βίκτ. Κουζέν «ἱστορ. τ. φιλοσ.» ἐν Παρισίοις 1872.

Ἑρμ. Βόνιτσ «Zur Erklärung einiger Stellen aus Arist. Schrift über die Seele» «Hermes.» Berlin 1873.

Οἷς πᾶσι χάριν ὁμολογῶ· εἰ δ' οὐ πάντες ἀεὶ διδάσκοντες, τὰ πολλὰ δ' ὑπομιμνήσκοντες ἐτύγχανον ὄντες, καὶ τούτου χάριν τὴν χάριν αὐτοῖς οἰστέον.

Ἐν Λειψίᾳ τῷ 1878 μηνὶ Ἀπριλίῳ.

ΙΩ. Α. ΒΑΡΕΛΑΣ.

ΤΜΗΜΑ. Α΄.

Ὁ ὁρισμὸς τῆς ψυχῆς.

Κεφ. α΄.

Πῶς βαδίζει ὁ Ἀριστ. διερευνῶν τὰ περὶ ψυχῆς.

Κεφ. β΄.

ἡ οὐσία

§ 1. Ὅτι ἡ οὐσία τὸ τόδε τι, τὸ σῶμα τὸ φυσικόν ἐστιν, ἣ καὶ πρώτη καλεῖται· καὶ ἄνευ ταύτης ἡ ὕλη οὐκ ὄν.

§ 2. τίνες καλοῦνται δεύτεραι οὐσίαι· ὅτι οὐ καθ' αὑτὸ, ἀλλὰ μὴν συμβαλλόμεναι εἰς γνῶσιν τῆς οὐσίας.

Κεφ. γ΄.

τὸ τὶ ἦν εἶναι.

§ 1. Τὸ τ. η. ειν. καθ' αὑτὸ ἄνευ ὕλης τὸ πρῶτον· οὐ τὸ πάθος ἢ τὸ συμβεβηκός, ἢ τὸ ὄνομα ἀλλ' ἡ εἰδοποιὸς διαφορά.

§ 2. Ὅτι τὸ τ. η. ε. καὶ ἑτέρως λέγεται.

§ 3. Ὡς δεῖ ζητεῖν τὸ τ. η. ε. καὶ ὅτι οὐκ ἐν ταῖς ἰδέαις κατὰ μέθεξιν.

Κεφ. δ΄.

τὸ τί ἐστιν.

Ὅτι τὸ τί ἐστι καθολικώτερον, καὶ οὐκ ἀεὶ τὴν οὐσίαν ἐκδηλοῦν.

Κεφ. ε΄.

ἡ ὕλη.

§ 1. Οἷα ἡ ὕλη ἁπλῶς.

§ 2. Ὡς διττὴ ἡ ὕλη, νοητὴ καὶ αἰσθητή.

§ 3. Ὡς ἐν τῇ φύσει ἡ ὕλη, ὁρατὴ καὶ ἀόρατος.

Κεφ. στ΄.

τὸ δυνάμει.

§ 1. Ὅτι τὸ δυνάμει ἐπὶ πλεῖον τῆς ὕλης λέγεται.

§ 2. Ὅπως τὸ δυνάμει ἔν τε φύσει καὶ τέχνῃ λέγεται.

Κεφ. ζ΄.

ἡ ἐνέργεια.

Οτι ἡ ἐνέργεια κίνησίς τις καὶ πρᾶξις ἀλλ' οὐ τὸ πρᾶγμα.

«Μέγιστον ἴσως ἀρχὴ παντός, ὥσπερ λέγεται· διὸ καὶ χαλεπώτατον· ὅσῳ γὰρ κράτιστον τῇ δυνάμει, τοσούτῳ μικρότατον ὂν τῷ μεγέθει χαλεπώτατόν ἐστιν ὀφθῆναι· ταύτης δ' εὑρημένης, ῥᾷον τὸ προστιθέναι καὶ συναύξειν τὸ λοιπόν ἐστιν.» Σοφ. Ἐλέγχ. λγ.' 183 β. 22.

«Οὐγὰρ δὴ φήσομεν ἅπαξ, οὐδὲ δίς, οὐδ' ὀλιγάκις τὰς αὐτὰς δόξας ἀνακυκλεῖν γιγνομένας ἐντοῖς ἀνθρώποις, ἀλλ' ἀπειράκις.» Μετεωρ. Α. γ'. 339 β. 27.

ΤΜΗΜΑ. Α'.

Ο ὁρισμός τῆς ψυχῆς.

Κεφ. α'.

«Ὁ νοῦς ὅταν τι νοήσῃ σφόδρα νοητόν, οὐχ ἧττον νοεῖ τὰ ὑποδεέστερα ἀλλὰ καὶ μᾶλλον.» Ἀριστ. π. ψυχ. Γ'. δ.' § 5.

Διαπορησάμενος πρῶτον ὁ δαιμόνιος ἐκεῖνος ἀνήρ, ὡς εἴωθε, καὶ συμπαραλαβὼν τὰ περὶ ψυχῆς παραδεδομένα, καὶ λαμπρῶς ἀνασκευάσας, ὡσπερεὶ ἀκαταμάχητος ἀριστεὺς τῷ ὀξεῖ τῆς διανοίας ξίφει τοὺς προγεγενημένους πάντας καταβαλὼν καὶ τρόπαιον στήσας, ἐπίκουρον τὴν πάσης γνώσεως πηγὴν, καθάπερ σοφὸς ἀρχιτέκτων, ἐμπειρίαν παραλαμβάνει, καὶ ἐπι ἀκραδάντου θεμελίου τὸ καταβληθὲν οἰκοδόμημα ἀνεγεῖραι προθυμεῖται. Τῇ μεγάλῃ δ' αὐτοῦ ἐμπειρίᾳ ἐνορῶν ὅτι ἐν πᾶσι τοῖς ὀργανικοῖς οὖσι τῇ μὲν αἱ αὐταὶ κινήσεις καὶ πάθη καὶ συμβεβηκότα συμβαίνει, τῇ δὲ τὸ ἀνάλογον, σπουδάζει μίαν ἀρχὴν καὶ αἰτίαν, καὶ κοινόν τινα λόγον ἐξευρεῖν. «διορίσαι τί ἐστι ψυχὴ, καὶ τίς ἂν εἴη κοινότατος λόγος αὐτῆς» (π. ψυχ. Β.' α.' § 1). Ἀλλὰ πρὶν τοῦτο ποιῆσαι, λίαν συντόμως καὶ οὐχ ἱκανῶς ἡμῖν γε τὰ τῆς διδασκαλίας αὐτοῦ ἐκτίθησιν, ἅ μεγίστην τοῖς φιλοσοφοῦσι τὴν δυσχέρειαν παρέχει, ἂν μὴ πρότερον γνωστὸν ᾖ ἐκ συμπάσης τῆς αὐτοῦ φιλοσοφίας, οἵαν γνώμην περὶ τῶν ὄντων καὶ καθόλου τοῦ παντὸς, καὶ τῆς ὕλης, καὶ τοῦ εἴδους, καὶ δυνάμεως καὶ ἐνεργείας ἔσχεν. Πρῶτον οὖν καὶ ἡμεῖς μικρά τινα, καὶ ὡς οἷόντε ἐν ὀλίγοις περιλαβόντες τί τῷ Ἀριστοτέλει περὶ οὐσίας καὶ δυνάμεως καὶ ἐνεργείας . . . . δέδοκται, οὕτως ἂν ἀσφαλῶς περαιτέρω χωροῖμεν, καὶ τῶν περιτυγχανότων ἡμῖν τοῖς μὲν οὐ φορτικοί δόξομεν, τοῖς δὲ καὶ ῥαστώνην ἄν τινα παρασκευάσαιμεν.

Κεφ. β'.

Ο ὐ σ ί α.

§ 1. Πρῶτα μὲν οὖν οὐσίαν ὁ Ἀριστοτέλης καλεῖ πᾶν ὄν, τὸ τόδε τι, τὸ ἀντικείμενον καὶ τῇ αἰσθήσει ὑποπίπτον [1]), ὅ πρώτη οὐσία καλουμένη τυγχάνει [2]), καὶ τὸ ἐνεργείᾳ ὂν καὶ φαινόμενον [3]), καὶ αὕτη ἐστὶν ἡ οὐσία καθ' αὑτὴν καὶ οὐ πρός τι καλουμένη [4]), ἡ αἰσθητὴ καὶ σύνθετος ἔκ τε εἴδους καὶ ὕλης [5]). Καὶ τύπῳ μὲν οὐσία ἐστὶν αὐτὸ τὸ ἀντικείμενον καὶ αἰσθητόν, καὶ τῇ ὕλῃ συνειλημμένον, τούτων δὲ μάλιστα τὰ φυσικά· «οὐσίαι δὲ μάλιστ' εἶναι δυκοῦσι τὰ σώματα, καὶ τούτων τὰ φυσικά· ταῦτα γὰρ τῶν ἄλλων ἀρχάι» [6]). Ταῦτα δὴ πρώτας οὐσίας ὁ Ἀριστ. ἡγεῖται εἶναι, τὰς σημαινούσας τόδε τι τὸ τῇ αἰσθήσει ληπτόν.

Ἀλλ' ἐν ταῖς πρώταις ταύταις οὐσίαις καθορᾶται καὶ ὕλη τις καθ' εάυτήν, ἄμορφόν τι, ὅ κινούμενον οὕτως ἢ οὕτως λαμβάνει ταύτην ἢ ἐκείνην τὴν μορφὴν, ἅμα δ' ὅτι καθ' αὑτὸ οὐκ ἔστιν ἡ ὕλη τόδε τι, γίγνεται δὲ τόδε τι τῇ τοῦ εἴδους συνόδῳ. Τούτων δ' οὕτως ἐχόντων, ἀνάγκη τὸ εἶδος τὴν οὐσίαν εἶναι, τὸ μὴ καθ' ὑποκειμένου λεγόμενον, ἀλλὰ κατὰ τούτου τἆλλα [7]), καὶ τὸ πρῶτον ὑποκείμενον εἴπερ οὐσία καθ' ἧς τἆλλα κατηγορεῖται· ἐξ ὧν δῆλον ὅτι οὐσίαν λέγει τὸ ἐν τῷδε ἢ ἐν ἐκείνῳ τῷ σώματι εἶδος· τοῦτο γὰρ πρότερον, καὶ τούτου ἕνεκα τοιάδε τὰ ὑλικὰ σώματα, οὐ μέντοι γε τὰ πάθη ἢ τὰ συμβεβηκότα τοῖς

---

[1]) Κατηγ. γ'. 1. β. 27 «ἔστι δὲ οὐσία μέν, ὡς τύπῳ εἰπεῖν, οἷον ἄνθρωπος ἵππος» καὶ ε'. 2 α. 11. «οὐσία δ' ἐστὶν ἡ κυριώτατα καὶ πρώτως καὶ μάλιστα λεγομένη, ἣ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται, μήτ' ἐν ὑποκειμένῳ τινί ἐστιν οἷον ὁ τίς ἄνθρωπος, ὁ τίς ἵππος.»

[2]) Κατηγ. ε'. 2 α. 35. β. 5. 3β 25.

[3]) Περὶ ἑρμ. ιγ'. 23α. 23. «Καὶ τὰ μὲν ἄνευ δυνάμεως ἐνέργειαί εἰσιν, οἷον αἱ πρῶται οὐσίαι» Ἀναλ. ὑστ. Β'. ιγ'. 96 β. 10 καὶ Α'. δ'. 73 β. 5 κ. ε. ἔνθα αὐτὸ τὸ ἔσχατον ὂν οὐσία· «ἡ δ' οὐσία καὶ ὅσα τόδε τι σημαίνει, οὐχ ἕτερόν τι ὄντα ἐστίν ὅπερ ἐστιν» ὅρ. καὶ π. Οὐρ. Γ'. α'. 298 α. 29 «λέγω δὲ οὐσίας μὲν τά τε ἁπλᾶ σώματα, οἷον πῦρ καὶ γῆν καὶ τὰ σύστοιχα τούτοις, καὶ ὅσα ἐκ τούτων, οἷον τόντε σύνολον οὐρανὸν καὶ τὰ μόρια αὐτοῦ, καὶ πάλιν τάτε ζῶακαὶ τὰ φυτὰ καὶ τὰ μόρια τούτων.»

[4]) «Ἐπὶ μὲν γὰρ τῶν πρώτων οὐσιῶν ἀληθές ἐστιν οὔτε γὰρ τὰ ὅλα, οὔτε τὰ μέρη πρός τι λέγεται, ὁ γὰρ τις ἄνθρωπος οὐ λέγεται τινὸς τις ἄνθρωπος.» αὐτόθι.

[5]) Μετ. Η. α'. 1042 α. 25 «αἱ δ' αἰσθηταὶ οὐσίαι πᾶσαι ὕλην ἔχουσιν». καὶ Ι. γ'. 1054 β. 4. Ζ. ί. 1035 α. 20 κ. ε. Λ. δ'. 1070 β. 10 κ. ε. καὶ τὰ πρός τούτῳ τοῦ Βόνιτσ ὑπομνήματα.

[6]) Π. ψυχ. Β'. α'. § 3.

[7]) Μετ. Δ. ή. 1017 β. 14 (ὅρ. καὶ ἀνωτέρω) αὐτόθι δὲ καὶ ποσαχῶς ἡ οὐσία.

σωμασι[8]. ταῦτα γὰρ καθ' ὑποκειμένου. Ωστε οὐσία ἥ τε ὕλη καὶ τὸ εἶδος καὶ τὸ ἐκ τούτων, ἀλλὰ τὸ πρότερον καὶ οὗ ἕνεκα τἆλλα τὸ εἶδος[9]. Εἰ δ' οὐσία τὸ εἶδος, ἀλλ' οὐ χωριστὸν καὶ ἀπολελυμένον καθάπερ παρὰτοῖς τὰς ἰδέας ποιοῦσιν, ἀλλ' ἐν τοῖς πράγμασιν ὕλῃ ἐσχηματισμένον, ἐν τοῖς αἰσθητοῖς αὐτοῖς· ἡ οὐσία δ' οὐ τὸ σῶμα ἢ ἡ ὕλη, οὐδὲ τὰ συμβεβηκότα ἢ τὰ πάθη, ἀλλὰ τὸ εἶδος ἐφ' οὗ ταῦτα κατηγορεῖται καὶ ἡ αἰτία, ἧς ἕνεκα τὰ αἰσθητὰ τοιάδε ἢ τοιάδε εἰσιν, ἡ δ' ὕλη ἀδιάφορος καὶ ὑστέρα κατὰ τὸν λόγον, εἰ καὶ προτέρα πως δοκεῖ εἶναι[10]. Ὅτι μὲν οὖν ἡ οὐσία τὸ πρῶτον καὶ κυρίως, τὸ εἶδος

---

8) Μετ. Ζ. γ'. 1029 α. 1 κ. ε. ὅρ. καὶ α'. 1028 α. 13—15 καὶ Β'. ε'. 1002 α. 2. ἔνθα τὸ σῶμα οὐσία. Σῶμα δὲ λέγει ὁ Ἀριστ. τὸ τοιάνδε ἢ τοιάνδε μορφὴν ἔχον ὡς ὕλην ἄμορφον· αὕτη γὰρ οὐ τόδε τι, ὡς κατωτέρω ἐροῦμεν.

9) «Τὰ μὲν γὰρ πάθη, καὶ αἱ κινήσεις, καὶ τὰ πρός τι, καὶ αἱ διαθέσεις καὶ οἱ λόγοι οὐθενὸς δοκοῦσιν οὐσίαν σημαίνειν· λέγονται γὰρ πάντα καθ' ὑποκειμένου τινὸς καὶ οὐθὲν τόδε τι.» Μετ. Β'. ε'. 1001. β. 29 ὅρ. καὶ Α. γ'. 983 β. 10. Γ. δ'. 1007 α. 29 καὶ τὰ κατωτέρω περὶ τοῦ τί ἦν εἶναι ἐκτεθειμένα ἡμῖν.

10) Μὴ ταραττέτω δ' ἡμᾶς ὅτι ὁ Ἀριστ. καὶ τὴν ὕλην οὐσίαν φησὶν εἶναι· «καὶ οὐσία ἥ τε ὕλη καὶ τὸ ἐκ τούτων.» Μετ. Ζ. ι'. 1035 α. 1. καὶ γὰρ τοῦτο συμβαίνει μόνον, ἐν οἷς ἀδύνατον ἄλλως νοῆσαι τὴν οὐσίαν μὴ ἀ ποτελούσης καὶ τῆς ὕλης μέρος τῆς οὐσίας, καὶ πρόπον τινὰ ταὐτοχρόνως ἐν τῷ λόγῳ τῆς οὐσίας τῆς τε ὕλης καὶ τοῦ εἴδους ἐνυπαρχούσης, ὥσπερ ἡ ῥίς καὶ τὸ σιμόν (ὅρ. δὲ καὶ Λ. δ'. 1010 β. 3 κ. ε.) οὐδαμοῦ δ' ἴσμεν τὸν Ἀριστοτέλη τὴν ὕλην οὐσίαν φάσκοντα εἶναι, εἰ μὴ πρός τι τοῦτο εἴρηκεν, οἷον ὅσα ἅμα τῇ ὕλῃ νοητά, καὶ ὅτι οὐκ ἔστιν ἄλλως λαβεῖν τινος ἐπιστήμην, εἰμὴ ἐν τοῖς σώμασιν αὐτοῖς τοῖς συνόλοις, καὶ ἐν τούτοις μόνον τὰ πάθη, οὐχί δὲ καὶ τὸν λόγον τῆς οὐσίας· οὗτος γὰρ πρότερον. ὅρ. Μετ. Μ. β'. 1077 α. 35 κ. ε. Απορον πῶς ὁ Τρενδελεμβούργ ἐν τῷ π. ψυχ. σελ. 324 φησίν ὑπάρχειν παρὰ τῷ Ἀριστ. χωρία, ἐν οἷς ἡ ὕλη οὐσία καλεῖται, οὐδὲν δὲ φησὶν εἰ ἁπλῶς ἢ πρός τι ἡ ὕλη οὐσία καλεῖται. Ἐν δὲ τῷ Μετ. Δ. η'. 1017 β. 18 λέγονται μὲν οὐσία· «καὶ τὰ μόρια τὰ ἐνυπάρχοντα καὶ ὁρίζοντα καὶ τό δε τι σημαίνοντα, ὧν αναιρουμένων ἀναιρεῖται τὸ ὅλον»· ἀλλ' ἐνταῦθα περὶ οὐσίας καθόλου, ποσαχῶς λέγεται, οὐ μέν τοί γε κυρίως καὶ ὅ δεῖ λέγεσθαι. Εἶτα καὶ τὸ τί ἐστι καὶ πᾶν ὄν πολλαχῶς ἂν λέγοιτο, ἀλλ' ἓν τὸ κυρίως καὶ πρώτως, τὸ εἶδος ὅ καὶ τῆς ὕλης καὶ τοῦ συνόλου πρότερον ὁμολογεῖται. Εἰ δ' ὁ Ἀριστ. ταῖς τέτταρσιν ἀρχαῖς καὶ τὴν ὕλην συναριθ.μεῖ, οὐχ ἱκανὸς ὁ λόγος οὗτος πρὸς τὸ καὶ τὴν ὕλην οὐσίαν λέγειν· δέον γὰρ καὶ ταύτην εἶναι, ἀλλ' οὐχ αὕτη τὸ πρῶτον, τὸ δὲ χωρίον Μετ. Λ. γ'. 1070 α. 1. κ. ε. εἰς ὃ ἀναφέρεται οὐ δείκνυσιν ὅτι καὶ ἡ ὕλη οὐσία καθ' αὑτὴν καὶ προτέρα, ἀλλ' ὅτι καὶ ἡ ὕλη λέγεται οὐσία, καὶ ἔστιν, ἀλλ' οὐχ ἡ πρώτη· τοῦτο δὲ δῆλον ἐκ τοῦ «τῷ φαίνεσθαι», οὐ μὲν τοι γε τὸ φαινόμενον οὐσία· ἡ γὰρ οἰκία φαίνεται ξύλα καὶ λίθοι καὶ πλίνθοι, ἀλλ' οὐ τοῦτο τὸ πρῶτον καὶ ἡ οὐσία, οἷα ἂν εἴη κυρίως τὸ ἀγγεῖον τὸ φυλακτικόν σωμάτων καὶ χρημάτων· ὁμοίως δὲ καὶ ἐπὶ τῶν φύσει.

ἄνευ τῆς ὕλης ἐστὶ μόνον ἐκ τῶνδέ τε δῆλον καὶ ἐκ τῶν ἐν τοῖς Ζ. καὶ Η. τῆς Μετ. ἐκτεθειμένων, ἐν οἷς κραταιᾷ κριτικῇ δυνάμει ἐναργέστατον καθίσταται, ὅτι οὐσία τὸ πρῶτον καὶ κυρίως ἐστί, τὸ εἶδος καὶ τὸ τὶ ἦν εἶναι, ὅ τὶ ἦν εἶναι, ἐν μεν τοῖς, φυσικοῖς οὖσιν ἀρχικὴ καὶ πρώτη αἰτία καὶ μία καὶ πρώτη ἀρχὴ ἡ φυσις, τὸ πρῶτον κινοῦν, ἐν δέ τοῖς τεχνητοῖς ταὐτὸ τὶ ἦν εἶναι ἡ οὐσία, ἀλλ' οὐ πρῶτον μέσον δέ, καὶ τὸ τέλος ἐκ τῆς ἐνεργείας ἐκδηλούμενον καὶ ταὐτὸ τῷ πρῶτον κινοῦντι ὄν καὶ τῇ πρώτῃ ἀρχῇ, τῇ τέχνῃ· τούτων γὰρ ἑκάτερον ἀναιρούμενον πᾶσαν τὴν συστοιχίαν συναναιρεῖ. Εἰ δέ καὶ ἡ ὕλη, καὶ τὸ καθόλου ἢ τὸ γένος οὐσίαι καλοῦνται, ἀλλ' οὔχ αἱ πρῶται· λέγονται γάρ, ἀλλ' οὐ καὶ ἁπλῶς εἰσιν αἱ πρῶται καὶ χωρισταὶ τῶν ἄλλων κατηγορημάτων· καὶ ὑποκείμεναι δ' αἱ πρῶται, ἀλλ' οὐχ ὡς ὕλη ὑποκείμεναι, ὡς δ' εἶδος καὶ πρῶται καὶ λόγῳ καὶ γνώσει καὶ χρόνῳ[11]. Οὐ μόνον δέ τὸ εἶδος ἡ οὐσία καὶ πρότερον, ἀλλὰ καὶ αἴτιον τῆς ὕλης[12], αἴτιον δέ τῆς ὕλης καθ' ὅ ὑποδυόμενον τὴν ὕλην γίγνεται τόδε τι, παρασκευάζεται τοιόνδε ἢ τοιόνδε πρότερον οὐκ ὄν ἐν τῇ ὕλῃ, ἀλλ' ἐν τῷ πρῶτον κινοῦντι, τῇ πρωτίστῃ ἀρχῇ, ἢ τῇ φύσει ἢ τῇ τοῦ τεχνίτου διανοίᾳ, καὶ τοῦτό ἐστι τὸ πρότερον, ὅ ἦν· ἄλλως γὰρ ἂν καὶ τὸ οὐκὄν, καὶ πᾶσα στέρησις οὐσία λέγοιτο[13]. Καὶ ταῦτα μὲν ἱκανὰ ἡμῖν γε δοκεῖ περί τῆς οὐσίας εἰρημένα καὶ συνωδὰ τῇ τοῦ Ἀριστ. διδασκαλίᾳ[14].

---

11) «Ὅμως δέ πάντων ἡ οὐσία πρῶτον καὶ λὸγῳ καὶ γνώσει καὶ χρόνῳ· τῶν γὰρ ἄλλων κατηγορημάτων οὐδὲν χωριστόν, αὕτη δὲ μόνη. Καὶ τῷ λόγῳ δὲ τοῦτο πρῶτον· ἀνάγκη γὰρ ἐν τῷ ἑκάστου λόγῳ τὸν τῆς οὐοίας ὑπάρχειν. Καὶ εἰδέναι τότ' οἰόμεθα ἕκαστον μάλιστα, ὅταν τί ἐστιν ἄνθρωπος γνῶμεν, ἢ τὸ πῦρ μᾶλλον ἢ τὸ ποιὸν ἢ τὸ ποσόν, ἢ τὸ ποῦ, ἐπεὶ καὶ αὐτῶν τούτων τότε ἕκαστον ἴσμεν ὅταν τί ἐστι τὸ ποσὸν ἢ τὸ ποιὸν γνῶμεν.» Μετ. Ζ. α'. 1028 α. 32 κ. ε. Ὅτι δέ ταῦτα τοῖς εν' τοῖς περὶ ψυχ. Β! α! . . . συμφωνεῖ ὕστερον δειχθήσεται.

12) Μετ. Ζ. ιζ! 1041 β. 7 «ὥστε τὸ αἴτιον ζητεῖται τῆς ὕλης, τοῦτό δ' ἐστι τὸ εἶδος, ᾧ τί ἐστιν· τοῦτο δ' ἡ οὐσία». ὅρ. καὶ η'. 1033 β'. 5 κ. ε. δ'. 1030 α. 5 κ. ε. ιζ'. 1041 α. 9 «ἡοὐσία ἀρχὴ καὶ αἰτία τίς ἐστιν» καὶ β'. 30.

13) π. γεν. καὶ φθ. γ'. 138 β. 14 «ἧς μὲν γὰρ μᾶλλον αἱ διαφοραὶ τόδε τι σημαίνωυσι, μᾶλλον οὐσία, ἧς δέ στέρησιν, μὴ ὄν, οἷον τὸ μὲν θερμόν κατηγορία τις καὶ εἶδος, ἡδέ ψυχρότης στέρησις». Μή ταραττέτω δ' ἡμᾶς τὸ Μετ. Μ. β'. 1077 β'. 12 «ὅτι μὲν οὖν οὔτε οὐσίαι μᾶλλον τῶν σωμάτων εἰσίν, οὔτε πρότερα τῷ εἶναι τῶν αἰσθητῶν». ἐκεῖ μεν γὰρ τὸ μᾶλλον ἀντὶ τοὐεὐλογώτερον εἴρηταικαὶ αἱρετώτερον, ἐνταῦθα δὲ τὸ μᾶλλον πρὸς τὰ χωριστά καὶ τὰς πλατωνικὰς ἰδέας εἴρηται συγκριτικῶς, ὡς εἰ ἔλεγε, μᾶλλον αἱ ἰδέαι ἢ τὰ αἴσθητὰ οὐσίαι, καθὰ καὶ ὁ Παχυμέρης ὀρθῶς εἴρηκεν (Βάϊ το τόμ. ά. σελ. 283).

14) Ὅρ. καὶ Μετεωρ. Δ'. ιβ'. 390 α. 6. «ἡ δ' οὐσία οὐδὲν ἄλλο ἢ ὁ λόγος» καὶ β! 17—19. π. ζω. μορ. Δ'. ιβ'. 693 β. 13 «τῷ δ' ὄρνιθι εν τῇ οὐσίᾳ τὸ ποιητικόν ἐστι», ἢ δῆλον ὅτι ἡ τελευταία διαφορά τῆς οὐσίας, καὶ τοῦτο τὸ καθ' αὑτὸ καὶ κυρίως, οὐ μέντοι τὸ δίπουν· τοῦτο γάρ καὶ ἄλλων κατηγορεῖται. Συμβάλλοιντο δ' ἂν εἰς κατανόησιν καὶ τά, «ὥστε φανερὸν ὅτι

Διατί δ' ἡ οὐσία πρώτη τῶν κατηγοριῶν ἐστιν, ἐκ τῶν ἀνωτέρω δῆλον ὅτι αὕτη ὑπόκειται πάσαις καὶ κατὰ ταύτης ὡς ὑποκειμένης κατηγοροῦνται αἱ ἄλλαι[15]), καὶ προτέρα καὶ ἀρχή· «ἀρχὴ γὰρ τὸ συναναιροῦν». Ἐχόμενον δ' ἐστιν εἰπεῖν καὶ περὶ τῶν δευτέρων καλουμένων οὐσιῶν μικρά τινα.

§ 2. «Δεύτεραι δὲ οὐσίαι λέγονται ἐν οἷς εἴδεσιν αἱ πρώτως οὐσίαι λεγόμεναι ὑπάρχουσι ταῦτά τε καὶ τὰ τῶν εἰδῶν τούτων γένη, οἷον ὁ τίς ἄνθρωπος ἐν εἴδει μὲν ὑπάρχει τῷ ἀνθρώπῳ, γένος δὲ τοῦ εἴδους ἐστὶ τὸ ζῶον»[16]). Δεύτεραι γοῦν οὐσίαι εἰσι τὰ γένη, τὰ ἄτομα εἴδη περιέχοντα. Ἀλλ' ὁ Ἀριστοτέλης οὐσίαν καθ' αὑτὸ καλεῖ τὸ εἶδος, τοῦτο δ' ἐστὶ τὸ τί ἦν εἶναι καὶ ὁ λόγος τῆς οὐσίας, ἀλλ' οὐσίαν καλεῖ καὶ τὸ γένος, καὶ παρατίθησιν αὐτὸ τῷ τί ἦν εἶναι καθάπερ καὶ τὸ καθόλου[17]). Πλὴν τοῦτο μὴ ταραττέτω τινά· δοκεῖ γάρ φησιν, καὶ οὐκ ἔστι· προϊόντι δὲ δῆλον ὅτι τὸ εἶδος μόνον καὶ κυρίως οὐσία. Τοῦτο δὲ φανερὸν ἐκ τοῦ ιστ'. κεφ. τοῦ Ζ. τῆς Μετ. ἢ αἱ δοκοῦσαι οὐσίαι οὐκ εἰσίν οὐσίαι καθ' αὑτό, ἀλλὰ δυνάμεις πρὸς τὸ εἶναι τήνδε ἢ ἐκείνην τὴν οὐσίαν, οὔτε μὴν καθόλου παρὰ τὰ καθ' ἕκαστα, ἐν αὐτοῖς δὲ τοῖς καθ' ἕκαστα αἱ οὐσίαι· ἐν αὐτοῖς δὲ οὐ τῷ ποιοῖς ἢ ποσοῖς εἶναι, ἢ τῷ συμβεβηκέναι ἢ πάσχειν τι αὐτά, ἀλλὰ τὸ πρῶτον κινοῦν καὶ τὸ εἶδος ἐν αὐτοῖς καθ' οὗ τἆλλα κατηγορεῖται[18]). Εἰσίν οὖν καὶ ἕτεραι οὐσίαι παρὰ τὰς καθ' ἕκαστα, ἀλλ' αὗται λέγονται οὐσίαι, οὐκ εἰσὶ δὲ καθ' αὑτό· καθ' αὑτὸ γὰρ μόνον αἱ τὸ τόδε τι σημαίνουσαι ἄνευ τῶν μερῶν· ἐπεὶ τὰ μέρη τῶν ἄλλων κατηγοριῶν καὶ κατὰ τοῦ ὑποκειμένου, οὐχὶ δ' αὐτὸ τὸ ὑποκείμενον καὶ ἡ πρώτη οὐσία ἧς ἕνεκα ἐκεῖνα. Καὶ εἰσὶ μὲν τὰ μέρη ἀλλ' οὐ τὸ πρῶτον, ὕστερα δὲ καὶ καιὰ τοῦ πρώτου κατηγορούμενα[19]). Οὕτω μὲν οὖν οὐκ εἰσὶν οὐσίαι καθ' αὑτὸ καὶ πρῶται

ἡ οὐσία καὶ τὸ εἶδος ἐνέργειά ἐστιν» Μετ. Θ. η'. 1050 β. 2 «τῷ εἴδει καὶ τῇ οὐσίᾳ 1050 α. 5.

15) Φυσ. Α'. α'. 185 α'. 31. ζ'. 190 α. 34. Σημειωτέον ὅτι ἡ οὐσία λέγεται ὑποκείμενον οὐχὼς ἡ ὕλη· καὶ γὰρ καὶ αὕτη ὑποκείμενον, ἀλλ' ἔσχατον «ἄλλως (δέ) ἡ ὕλη», καὶ ἡ μεν οὐσία ὡς ὑποκείμενον ἔστιν ἐντελεχείᾳ τὸδετι, ἡ δέ ὕλη δυνάμει καὶ τρόπον τινὰ οὐκ ὄν.

16). Κατηγ. ε! 2 α. 14 καὶ β. 17 κ. ε.

17) Μετ. Ζ. γ! 1028 β. 39 κ. ς. «Καὶ γὰρ καὶ τὸ τίἦν εἶναι καὶ τὸ καθόλου καὶ τὸ γένος οὐσία δοκεῖ εἶναι ἑκάστου, καὶ τέταρτον τούτων τὸ ὑποκείμενον».

18) Μετ. Ζ. ιστ'. 1040 β. 26 καὶ 1041 α. 3. «ὅτι (μὲν οὖν) οὔτε τῶν καθόλσυ λεγομένων οὐδὲν οὐσία, οὔτ' ἔστιν οὐσία οὐδεμία ἐξ οὐσιῶν»

19) Ἀπροσδοκήτως ἐνετύχομεν τῷ Βάϊτς φάσκοντι τὸν Ἀριστ. ἐν ταῖς Κατηγορίαις (ε'. 2 α. 29.) μέρη ταῖς πρώταις οὐσίαις ἀποδεδωκέναι· φησί γὰρ ὅτι ὁ Ἀριστ. ἐν ταῖς Κατηγ. οὐ τὴν φύσιν καὶ τὴν ἀλήθειαν τῶν πραγμάτων ἐκτίθησιν, ἀλλ' ὡς κοινῶς ταῦτα παρὰ τοὶς φιλοσοφοῦσι λέγεται, διὸ καὶ ἑτέρα ἡ ἐν ταῖς κατηγορίαις πρώτη οὐσία, τῆς ἐν τῇ πρώτῃ φιλοσοφίᾳ· ἐκείνη γὰρ μέρη ἔχει, αὕτη δ' οὐ σύνθετος ἐκμερῶν «causæ in eo est quod in Categoriis non de ipsa rerum natura et veritate exponit, sed res tales capit, quales

τὰ γένη καὶ τὰ καθόλου, ἀλλὰ τὸ σύνολον ἐξ ὕλης καὶ εἴδους μᾶλλον, καὶ τὰ ἔσχατα καὶ ἄτομα καὶ ἀδιάφορα κατὰ τὸ εἶδος[20]). Οὐσίαι δὲ δεύτεραι καλοῦνται, οὐχ ὅτι καθ' αὑτάς, ἀλλὰ τῷ συμβάλλεσθαι εἰς τὴν τῆς οὐσίας γνῶσιν, καὶ τῷ κατηγορεῖσθαι κατὰ τοῦ ὑποκειμένου καὶ ἐξ ἀνάγκης· δηλοῦσι γὰρ ποιόν τι, τὸ δὲ ποιὸν κατηγορία τις, αἱ δὲ κατηγορίαι κατὰ τῆς οὐσίας πᾶσαι καὶ κατὰ τοῦ ὑποκειμένου, ἀλλ' οὐκ ἐν ὑποκειμένῳ. Κατὰ δὲ τοῦ ὑποκειμένου κατηγορούμενα τά τε γένη καὶ τὰ καθόλου οὐχ ὡς κεχωρισμένα καὶ ἀπολελυμένα θεωρητέα, καθάπερ αἱ Πλάτωνος ἰδέαι· αὗται γὰρ οὐ κατὰ τοῦ ὑποκειμένου ἀλλὰ κατὰ μέθεξιν, καὶ τρόπον τινὰ ἕτερόν τι παρὰ τὰ καθ' ἕκαστα, καὶ καθ' αὑτά, καὶ ὄντως ὄντα· οὐμὴν οὕτω τὰ παρὰ τῷ Ἀριστοτέλει γένη καὶ καθόλου ἢ δεύτεραι οὐσίαι, ἀλλὰ κατὰ τῆς καθ' αὑτὸ οὐσίας, τῶν κατηγοριῶν τινα δηλοῦσαι, καὶ ἐξ ἀνάγκης οὖσαί τι κατηγορούμενον, ἀλλ' οὐ καθ' αὑτὸ καὶ ὄντως ὄν, ἐκ δὲ τῆς ἐπαγωγῆς συναγόμενον ἐξ ἀνάγκης καὶ προσόν, ὡς εἰπεῖν, οὐχ ὡς τὸ πρῶτον νοούμενον, ἀλλὰ συναγόμενον ὡς κοινῇ κατηγορούμενον τοῦ ὑποκειμένου καὶ οὐχ ἐν ὑποκειμένῳ[21]).

Καὶ ταῦτα μὲν περὶ τῆς οὐσίας, εἰ δὲ τι ὑπολέλειπται προϊόντες ἐροῦμεν, ὅτε καὶ τὴν ὕλην καὶ δύναμιν, φύσιν τε καὶ κίνησιν εἰσόμεθα· ἐχόμενα γάρ πως ταῦτα, ἅ ἐπιστάμενοι βέλτιον καὶ ἀσφαλῶς σκεψόμεθα.

---

apparent in communi vita homini philosophia non imbuto unde fit, ut in Categoriis alia sit πρώτηοὐσία atque in prima philosophia: illa enim partes habet, haec vero non componitur ex partibus» (τόμ. α! σελ. 284). Καὶ ὅτι μὲν οὐ μετ' ἀκριβείας ὁ Ἀριστοτέλης τὰ περὶ τῆς πρώτης οὐσίας ἐκτίθησιν, ἀληθές· ὅτι δὲ μέρη ἀποδίδωσιν, οὐδὲ τὸ παράπαν ἀληθείας ἔχεται. Ἐπεί «μὴ ταραττέτω» φησίν «ἡμᾶς τὰμέρητῶν οὐσιῶν ὡς ἐν ὑποκειμένοις ὄντα τοῖς ὅλοις, μήποτε ἀναγκασθῶμεν οὐκ οὐσίας αὐτὰ φάσκειν εἶναι». Τὰ οὖν μέρη ὑπάρχει μὲν ἐν τοῖς οὖσι καὶ ἐξ ἀνάγκης, ἀλλ' οὐχ ὡς τὸ πρῶτον, ἕτερον δὲ τοῦτο οὗ ἕνεκα τὰ μέρη· μέρη γὰρ καὶ τὰ τεθνεῶτα, ἀλλ' ὁμωνύμως, ἡ δ' οὐσία τὸ πρῶτον καὶ τῶν μερῶν πρότερον, καὶ ἣν ἐντελεχείᾳ, τά δὲ μὲρη δυνάμει. Τὶ μήν; χωρίσαι δεῖαὐτά; οὐδὲ τοῦτο βούλεται λέγειν, ἀλλ' ὅτι τρόπον τινὰ ἀδιάφορα, καὶ ἄλλου ἕνεκα, καὶ ὕστερα, κὰ τοῦτο δείκνυσι τὰ ἑξῆς «οὐγάρ οὕτω τὰ ἐν ὑποκειμένῳ ἐλέγετο τὰ ὡς μέρη ὑπάρχοντα ἔν τινι». Εἶτα «ὡς ἐν ὑποκειμένῳ» φησίν «ὄντα», οὐκ ὄντως δὲ αὐτὸ τὸ πρῶτον καὶ τὸ τί ἦν εἶναι. Ὅυτω δοκεῖ ἡμῖν ἡ δυσχέρεια λύεσθαι, ἄλλως δ οὐκ ἔστιν ἑρμηνεῦσαι τὸ χωρίον, ὁι δ' ἐπιχειροῦντες κινδυνεύουσι τόν τε Ἀριστοτ. καὶ σφᾶς αὐτοὺς ἀδικεῖν.

20) Μετ. Ζ. Ι'. 1035 β. 29 π. ζω. γεν. Δ'. γ'. 767 β. 33 π. ζω. μορ. Α'. δ'. 644 α. 23.

21) Ὅρ. π. σοφ. ἐλ. κβ'. 178 β'. 38 «καὶ ἅπαντὸ κοινὸν οὐ τόδετι, ἀλλὰ τοιόν δε, ἢ πρός τι, ἢ πῶς, ἢ τῶν τοιούτων τι σημαίνει» καὶ 179 α. 8. Κατ. ε'. γ'. β. 13 κ. ε. ἧ ἡ δευτέρα οὐσία οὐ τὸ ποιὸν ἁπλῶς, ἀλλὰ τό κατὰ τὴν οὐσίαν ποιόν δηλοῦςα δέδεικται.

Κεφ. γ΄.

τὸ τί ἦν εἶναι.

§ 1. Κατὰ ταῦτα οὖν ῥητέον καὶ περὶ τοῦ, τι τῆν εἶναι τινά, εἴπερ τὸν ὁρίσοντα ἀνάγκη οὐ τὰ καθ᾽ ἕκαστα καὶ τὰ συμβεβηκότα ἢ τὰ πάθη θεωρεῖν, ἀλλὰ τὰ καθ᾽ αὑτά, οὐ τὰ φαινόμενα ἀλλὰ τὰς πρώτας αἰτίας, οὐ τὰ νῦν οὕτως ἢ ἄλλως ἔχοντα, ἀλλὰ τὶ τὸ παραγαγόν το:οῦτον ἢ τοιοῦτό τι, οὐ τὸ τί ἐστιν, ὡς τῇ αἰσθήσει ὑποπίπτει, ἀλλὰ τό, τίς ἦν ἡ αἰτία, ὥστε τόδε τι οὕτως ἢ οὕτως ἔχειν, καὶ τοῦτό ἐστι τὸ τὶ ἦν εἶναι, τὸ ὁρίσαι τὶ ἦν τινι πράγματι, καὶ οὐ τί ἐστι, καὶ διὰ τῶν ὑστέρων [1]· τὸ πρῶτον γένος καὶ τὴν πρώτην διαφορὰν καὶ οὐ τὸ ἄτομον εἶδος· ἐκείνων γὰρ αἱρομένων συναναιρεῖται καὶ τοῦτο, οὐ μὴν καὶ τἀνάπαλιν [2]· «ἐπειδὴ ὁρισμός ἐστι λόγος ὁ τὸ τί ἦν εἶναι σημαίνων» [3].

Ἀλλ᾽ ἐμμείνωμεν μικρόν τι, καὶ ἐρωτήσωμεν αὐτὸν τὸν Ἀριστ. τι τοῦτ᾽ αὖ τὸ τὶ ἦν εἶναί ἐστι, μή τι ἄλλως ἔχει τὸ πρᾶγμα, ἢ ὡς ἡμεῖς νοοῦμεν.

Ἐν Μετ. Ζ. δ΄. κεφ. λογικῶς [4]) λέγων φησίν ὅτι «ἔστι τὸ τὶ ἦν εἶναι ἑκάστῳ, ὃ λέγεται καθ᾽ αὑτό» [5]) «οὐ γὰρ ἔστι τὸ σοὶ εἶναι τὸ μουσικῷ εἶναι»· τὸ γὰρ μουσικῷ εἶναι συμβέβηκέ σοι, οὐκ ἦν δὲ πρότερον, ἀλλ᾽ ὕστερον ἐγένετο· ζητεῖται δέ τὶ ἦν σοι πρὶν τοῦτο συμβῆναι κατὰ σαυτὸν, καὶ τοῦτο αὖ οὐ πᾶν· λέγοιτο γὰρ ἂν ἡ ἐπιφάνεια καὶ τὸ λευκὸν καθ᾽ αὑτό, οὐ μέντοι γ᾽ ἦν τὸ ἐπιφανείᾳ εἶναι τὸ λευκὸν εἶναι, ἀλλ᾽ ἕτερόν τι, ὃ ἦν τῇ ἐπιφανείᾳ καὶ εἰργάσατο τὸ λευκόν, ὃ πρόσεστι μὲν νῦν, οὐκ ἦν δέ, ἀλλ᾽ ἑτέρας ἀρχῆς προϊὸν καὶ γινόμενον ταὐτόν. Εἰ οὖν «τὸ ἐπιφανείᾳ λευκῇ εἶναι ἔστι τὸ ἐπιφανείᾳ εἶναι λείᾳ, τὸ λευκῷ καὶ λείῳ εἶναι τὸ αὐτὸ καὶ ἕν», ἀλλὰ μὴν πρότερον τὸ λείῳ εἶναι [6]). Τί

---

[1]) Τοπ. Ζ. δ΄. 141 α. 26 κ. ὅτι βέλτιον τὸ καθόλου ὅρ. Ἀναλ. ὑστ. Α΄. κδ΄.

[2]) Δὐτόθ. στίχ. 28 «Συναναιρεῖ γὰρ τὸ γένος καὶ ἡ διαφορά τὸ εἶδος· ὥστε πρότερα ταῦτα τοῦ εἴδους, ἔτι δὲ καὶ γνωριμώτερα· τοῦ μὲν γὰρ εἴδους γνωριζομένου ἀνάγκη καὶ τὸ γένος καὶ τὴν διαφορὰν γνωρὶζεσθαι, τοῦ δὲ γένους καὶ τῆς διαφορᾶς γνωριζομ̣ενης, οὐκ ἀνάγκη καὶ τὸ εἶδος γνωρίζεσθαι, ὥστε ἀγνωστότερον τὸ εἶδος». Τὸ ἐν παρενθέσει ὑποβολιμαῖον δοκεῖ μοι καὶ ἐξαλειπτέον, εἰ δὲ μὴ μετατρεπτέον τὸν σύνδεσμνν οὐ εἰς καὶ, ἄλλως ἀντίφασις προφανής. Ὅρ. καὶ ε΄. γ΄.

[3]) Τοπ, Η. ε΄. 150 α. 31 Ά. ε΄. 101 β. 39.

[4]) περὶ τοῦ, λογικῶς, ὅρ. Βάϊτς ὄργ. β΄. σελ. 353, ὃ, πολλὰ σημαίνει, καθόλου δ᾽ εἰπεῖν τοὺς λόγους ποιουμένους οὐκ ἐξ ἐμπειρίας καὶ τῆς φύσεως τῶν ὄντων, ἀλλ᾽ ἀντιλογικῶς καὶ ἐριστικῶς ἐν τῷ διαλέγεσθαι ἔχοντας, οὐχ ἧττον δὲ δεινούς, καὶ τρόπον τινὰ ἀποχρῶντας δοκοῦντας.

[5]) Ὅτι τὸ καθ᾽αὑτὸ τὴνοὐσίαν δηλοῖ καὶ οὐσυμβεβηκός, ἔιρηται.

[6]) Ὅτι ταῦτα σοφιστικῶς μᾶλλον ἔιρηται δῆλον· οὐ γὰρ πᾶσα ἐπιφάνεια λευκόν (εἰ δ᾽ ἐν Μετ. Δ. ιη΄. 1032 α. 30 «ἡ ἐπιφάνεια λευκὴ καθ᾽ αὑτήν» οὐκ ἄκριβῶς διώρισται τὸ, πῶς), οὔτε ἡ λειότης καθ᾽ αὑτὸ τὸλευκόν,

οὖν ἐστιν τὸ τί ἦν εἶναι; «ἐν ᾧ (ἄρα) μὴ ἐνέσται λόγῳ αὐτὸ λέγοντι αὐτό, οὗτος ὁ λόγος τοῦ τί ἦν εἶναι ἑκάστῳ.» Ὁ λόγος ὁ μὴ ἐνυπάρχων ἐν τῷ ὀνόματι, ἀλλ᾽ ἄλλης ἀρχῆς ὤν, οὗτός ἐστιν ὁ καθ᾽ αὑτὸ λόγος καὶ ἡ οὐσία τοῦ πράγματος, ὁ οὐκ ἐκ τῶν οὕτως ἢ ἄλλως λεγομένων ἐκφαινομένων ἢ συμβεβηκότων, ἀλλ᾽ ἕτερος τῆς κλήσεως, καὶ τοῦ νῦν οὕτως ἢ ἄλλως ἔχοντος πράγματος, οὐ τοῦ νῦν παρόντος, ἀλλὰ τοῦ παραγαγόντος τόδε, τοῦ πρώτου αἰτίου [7]). Οὗτος δ᾽ ἐστιν ὁ λόγος ὁ τοῦ τί ἦν εἶναι, ὁ δηλῶν ὃ ἦν πρῶτον καθ᾽ αὑτό, καὶ οὐχ ὃ πρόσεστιν, ἢ συμβέβηκεν, ἢ ἔπαθεν, ἢ κέκληται οὕτως ἢ ἄλως· «ἔσται γὰρ ὄνομα ὁτῳοῦν λόγῳ ταὐτόν, ὥστε καὶ ἡ Ἰλιὰς ὁρισμός ἔσται» [8]). Ὅτι δέ τοῦτο σημαίνει δῆλον ἐκ τοῦ, «οὐκ ἔσται ἄρα οὐδενὶ τῶν μὴ γένους εἰδῶν τὸ τὶ ἦν εἶναι, ἀλλὰ τούτοις μόνον· ταῦτα γὰρ δοκεῖ οὐ κατὰ μετοχὴν λέγεσθαι καὶ πάθος, οὐδ᾽ ὡς συμβέβηκός» [9]). Ἀλλὰ

ἀλλά λογικῶς εἴρηται πρὸς τὸν τιθέντα πᾶσαν ἐπιφάνειαν λευκὴν καὶ καθ᾽ αὑτὸ καὶ ἅμα· πρὸς δὲ τὸν οὕτως ἐπαΐοντα οὕτω καὶ διαλεκτέον. Ὅυτως ἡμεῖς νοοῦμεν τὸ χωρίον, οὐ δ᾽ ἱκανὰ δοκεῖ τὰ τῷ Βόνιτσ εἰρημένα (ὅρ. μέρ. β΄. Μετ. σελ. 304—305).

[7]) Ὁ Τρενδεγεμβοὺργ οὕτω μεταφράζει τὸ «ἐν ᾧ ἄρα μὴ ἐνέσται λόγῳ αὐτό . . . . In demjenigen Begriffe wird für ein jedes das, τὸ τὶ ἦν εἶναι sein, in welchem nicht das individuelle (αὐτό) liegt, obgleich er das indiviuuelle begreift (aussagt) (λέγοντι αὐτό) δηλ. ἐν τῷ λόγῳ παντὸς ἔσται τὸ τὶ ἦν εἶναι τοῦτο, ἐν ᾧ οὐκ ἐνυπάρχει τόδε (τὸ ἄτομον παρ᾽ ἡμῖν λεγόμενον), εἰ καὶ ἐκφράζεται τόδε. Ἡμῖν πλην τἀνάπαλιν δοκεῖ· ἐν γὰρ τῷ λόγῳ τῆς οὐσίας ἐνυπάρχει ἕκαστον, οὐκ ἐκφράζεται δὲ ὡς φαίνεται ἢ καλεῖται, οὐδὲ τόδε οὕτως ἢ οὕτως ἔχον νῦν, ἀλλ᾽ ὡς εἶχε, καὶ ἔνεστιν ἐν τῷ λόγῳ τῷ τὶ ἦν εἶναι δηλοῦντι ὅ ἦν, ἡ αἰτία ἡ παραγωγός (causa efficiens). Ὀρθῶς δὲ καὶ ὁ Βόνιτσ μέμφεται αὐτῷ μεταφράσαντι τὸ, αὐτὸ, τῷ individuell· τοῦτο γὰρ τῷ, τί, καλεῖ ὁ Ἀριστ. καὶ οὐ τῷ, αὐτό, ὅπερ ἐνταῦθα ὀυ δηλοῖ αὐτὸ τὸ ὁριζόμενον, ὧς φησιν ὁ Βὸνιτσ, ἀλλ᾽ αὐτὸ τὸ προκείμενον ὡς καλεῖται καὶ φαίνεται τρόπον τινὰ καθ᾽ αὐτό, οὐ μέντοι ὄντως καθ᾽ αὐτό. Μεταφράζει δὲ οὕτω· Derjenige Begriff also ist für ein jedes Ding Begriff des τὸ τὶ ἦν εἶναι, in welchem es selbst nicht enthalten ist, während er es doch bezeichnet· δηλ. ἐκεῖνος ὁ λόγος ἄρα ἐστίν ἐν παντὶ πράγματι λόγος τοῦ τὶ ἦν εἶναι, ἐν ᾧ αὐτὸ (τὸ πρᾶγμα) οὐκ ἔστιν, ἐκδηλοῦταί πλὴν αὐτό. Ἀλλὰ καὶ τοῦτο οὐ πάνυ καταφανές· εἰ γὰρ τῷ λόγῳ ἐστὶν αὐτό, ἀλλ᾽ οὐκ αὐτό, ὡς καλεῖται ἢ φαίνέται, οὐκ ἔστι τὸ τῇ αἰσθήσει προσπίπτον αὐτό, καὶ ἐκδηλούμενον οὐ τοῦτο ἐκδηλοῦται, ἀλλὰ ὃ πρότερον ἦν, καὶ λέγεται μὲν αὐτό, οὐκ ὄντως δὲ ταὐτό, ἀλλ᾽ ἕτερον. Τὸ δὲ χωρίον εἰς ὃ ὁ Βόνιτσ ἀναφέρεται οὐ πάνυ τι πρόσφορον δοκεῖ, καὶ γὰρ ἐκεῖ περὶ τοῦ ἰδίου ὁ λόγος, ὃ ἕτερον τοῦ τί ἦν εἶναι, ὡς προϊόντες ἐροῦμεν (μέρ. β΄. σελ. 305 σ.)

[8]) Μετ. Ζ. δ΄. 1030 α. 8.

[9]) Αὐτ. 1030 α. 11. Ὅτι τὰ κατὰ μετοχὴν καθ᾽ ὑποκειμένου εἰσὶ καὶ οὐ τῆς οὐσίας ὅρ. Μετ. Ζ. στ΄. 1031 β. 18. Η. στ΄. 1045 α. 18. β. 8. ἰδίᾳ πλὴν ἀντιτείνων τῷ Πλάτωνι χρῆται τῷ ῥήματι τούτῳ ὁ Ἀρ. Μετ. Α. στ΄. 987 β. 13. καὶ τοπ. Δ΄. α΄. καὶ ε΄. ὅτι δὲ πᾶς ὁρισμὸς λόγος ἐστίν, οὐ μέντοι

πῶς αὐτὸς ἐν Τοπ. Ε΄. δ΄. φησὶν ὅτι τὸ «κατὰ μέθεξιν ὑπάρχον εἰς τὸ τὶ ἦν εἶναι συμβάλλεται»; μή τι ἀντιφάσκων ἑαυτῷ προὐδέδοται; προχωρῶν φησίν, «εἴη δ' ἂν τὸ τοιοῦτο διαφορά τις κατά τινος ἑνὸς εἴδους λεγομένη, οἷον ἐπεὶ ὁ εἴπας ἀνθρώπου ἴδιον τὸ πεζὸν δίπουν, κατὰ μέθεξιν ἀπέδωκε τὸ ἴδιον, οὐκ ἂν εἴη ἀνθρώπου ἴδιον τὸ πεζὸν δίπουν». Ἐντεῦθεν οὖν δῆλον ὅτι τὸ κατὰ μέθεξιν ἀποδεδομένον διαφορά τις, ἀλλ' οὐκ εἰδοποιὸς διαφορά, διαφορὰ ἑνός τινος εἴδους καὶ ἐσχάτη, οὐ μὴν τελεία καὶ συντελοῦσα πρὸς ὁρισμόν, ἀλλ' ὡς πᾶσα διαφορὰ ἐσχάτη εἰς εὕρεσιν τῆς πρώτης συμβαλλομένη καὶ οὐχ ὁρίζουσα.

§ 2. Ὅμως δὲ τὸ τί ἦν εἶναι οὐκ ἂν παντὶ ἁρμόσειεν· ἐν πολλοῖς γὰρ καὶ τὸ ποσόν, καὶ τῶν ἄλλων κατηγοριῶν ἐκ προσθέσεως καθ' αὑτὰ ὑπάρχει καὶ συνδεδυασμένα καὶ ἀχώριστα, ἀνάγκη δ' ἐκ τούτων καὶ τὸν ὁρισμὸν κατασκευάζειν, εἰ δὲ τοῦτο, καὶ τὸ τὶ ἦν εἶναι ἑτέρως λεχθήσεται, καὶ σημανεῖ καθάπερ τὸ τί ἐστιν, «ἕνα μὲν τρόπον τὴν οὐσίαν καὶ τὸ τόδε τι, ἄλλον δέ, ἕκαστον τῶν κατηγορουμένων, ποσόν, ποιόν, καὶ ὅσα ἄλλα τοιαῦτα», καὶ ἔσται «οὐχ ἁπλῶς τὶ ἦν εἶναι, ἀλλὰ ποσῷ καὶ ποιῷ τὶ ἦν εἶναι». Ἀλλὰ τὸ τὶ ἦν εἶναι ἢ μόνων τῶν οὐσιῶν ἐστιν, ἢ μάλιστα καὶ πρώτως καὶ ἁπλῶς»[10]). Ἀλλὰ φανερώτερα ταῦτα ἐκ τῶνδε. Ἂν θελήσω τὸ τὶ ἦν εἶναι ἀνθρώπῳ ὁρίσαι, οὐχ ἐρῶ τὰς ἐν αὐτῷ τῷ ἀτόμῳ εἴδει διαφοράς, οἷον, πεζὸν ὑπόπουν δίπουν ἄπτερον (καίτοι ἔστι μὲν ταῦτα, ἀλλὰ καὶ ἐν ἑτέροις ἐστιν ἀτόμοις εἴδεσιν, οὐδαμῶς δὲ ποιεῖ πρώτην διαφοράν, ὅτι οὐκ ἐν τῷ ὡς γένους εἴδει[11]), οὗ τὰ ἄτομα κατηγορεῖται), οὐδὲ μὴν ὂν αἰσθητικόν· οὐ γὰρ τὴν πρώτην ἐν τῷ ἀνωτάτῳ γένει διαφορὰν εἴρηκα, οὐδὲ τὸ καθ' αὑτό· εἰπὼν δὲ τὸ ἐκ ψυχῆς καὶ σώματος συνεστώς, καλῶς δοκῶ εἰρηκέναι, ἀλλὰ ψυχὴ πρότερον ζητητέον τί ἐστι, καὶ εἰ τοῦτο ἐντελέχεια ὀργανικοῦ φυσικοῦ σώματος, τοῦτο οὐ μόνον τοῖς ζώοις, ἀλλὰ καὶ τοῖς φυτοῖς, καὶ αὕτη ἡ πρώτη διαφορὰ καὶ ἡ οὐσία τῆς ψυχῆς, ἡ ἐντελέχεια σώματος φυσικοῦ, διαφορὰ δὲ τελεία ἐν τοῖς μάλιστα καὶ πρώτως, ἐν τῷ γένει μὲν ὡς περιλαμβάνοντι πάντα τὰ ὀργανικά, εἴδει δὲ πρὸς τὰ ἀνόργανα ἐν οἷς ἡ στέρησις, καὶ τοῦτό ἐστιν ὅ ἦν, τὸ εἶδος τὸ πρῶτον καὶ ἡ πρώτη ἀρχὴ καὶ αἰτία· πρότερον γὰρ τοῦ δίποδος καὶ πτερωτοῦ καὶ τῶν ἄλλων διαφορῶν ἡ ψυχή, καὶ τὸ πρῶτον εἶδος οὗ ἕνεκα τὰ λοιπά. Πάλιν· τί ἐστιν ὑδρία; πηλός οὕτως ἢ οὕτως παρεσκευασμένος, τί δ' ἦν; ἡ διάνοια τοῦ τεχνίτου, ἡ πρώτη αἰτία καὶ τὸ τέλος, τοῦτο δ' ἐστὶ σκεῦος πρὸς τὰς τοῦ ὕδατος χρείας, ἐν οἷς πᾶσι λέγεται αὐτό, οὐκ ἔστι δ' αὐτό, ἔν τε τοῖς ἀπὸ φύσεως καὶ τέχνης ἢ διανοίας γιγνομένοις[12])· τοῦτο δὲ γνόντες

γε καὶ πᾶς λόγος ὁρισμός, ὀρ. Τοπ. Α΄ι ε΄. Μετ. Γ. δ΄. καὶ Βόνιτσ μέρ. β΄. σελ. 309.

10) Αὐτόθι καὶ κεφ. ε΄. 1031 α. 1 καὶ 12.

11) Μετ. Ι. ζ΄. 1057 β. 7. η΄. 1058 α. 22. Μ. ε΄. 1079 β. 34.

12) Ὅτι δὲ ταῦτα οὕτως ἔχει φανερὸν ἐκ τοῦ ζ΄. κεφ. τοῦ Ζ. τῆς Μετ. ἐν ᾧ τῶν φυσικῶν ὄντων ἡ τρώτη αἰτία ἐν τῇ φύσει καὶ τῶν ἀπὸ τέχνης ἐν τῇ ψυχῇ δέδεικται εἶναι· «ἀπὸ τέχνης δὲ γίγνεται ὅσων τὸ εἶδος ἐν τῇ ψυχῇ· εἶδος δὲ λέγω τὸ τὶ ἦν εἶναι ἑκάστου καὶ τὴν πρώτην οὐσίαν» ὡς ὑγιείας, παντὸς ἀπὸ τέχνης ὁ λόγος

ἐπιστάμεθα· «ἐπιστήμη γὰρ ἑκάστου ἐστὶν, ὅταν τὸ τὶ ἦν ἐκείνῳ εἶναι, γνῶμεν»[13]).

§ 3. Ἀλλ' ὑπολείπεται ζητεῖν· τοῦτο ὅ ἦν, ἔστιν ἀεὶ τῷ πράγματι καὶ ταὐτὸ τούτῳ ἀχώριστον ὄν, ἢ οὐ ταὐτὸ καὶ χωριστόν, καὶ τότε δικαίως ἄν τις αὐτῷ ἐγκαλοῖ τοῖς ἑαυτοῦ ἀρέσκουσι τὴν Πλάτωνος ἰδεολογίαν ἀναμίξαντι; Καὶ τοῦτο μὴν ἡ ὀξεῖα αὐτοῦ διάνοια οὐ παρέλειψεν ἐξακριβῶσαι, ἐν τῷ Μετ. Ζ στ΄. κεφαλαίῳ. Εἰ οὖν τὸ τὶ ἦν εἶναι, οὐκ ἔστιν ἡ οὐσία ἑκάστου, ἕτερον ἔσται ἑκάστου ἡ οὐσία· καὶ ἐπὶ μὲν τῶν συμβεβηκότων οὐκ ἀνάγκη ταὐτὰ εἶναι οὐδ ἔστιν· ἄτοπον γὰρ τὸ φάναι τὸ νῦν μὲν λευκὸν εἶτα δέ μέλαν ἢ ἄλλο τι αὐτῷ συμβεβηκὸς ταὐτὸ τῇ οὐσίᾳ· τὸ γὰρ συμβεβηκὸς οὐ ποιεῖ εἴδει διαφοράν, «ἐπὶ δὲ τῶν καθ' αὑτὰ λεγομένων ἀεὶ ἀνάγκη ταὐτὸν εἶναι»[14])· εἰ γὰρ ἄλλαι, ἄλλων ἔσται και τὸ τὶ ἦν εἶναι, «καὶ εἰ ἀπολελυμέναι ἀλλήλων, τῶν μὲν (τῶν ἀπολελυμένων) οὐκ ἔσται ἐπιστήμη (οὐ γὰρ γνωσθήσεται τὸ τὶ ἦν εἶναι), τὰ δέ (τὰ καθ' ἕκαστον, τὰ τῇ αἰσθήσει ὑποπίπτοντα) οὐκ ἔσται ὄντα... ἅμα δὲ δῆλον καὶ ὅτι εἴπερ εἰσὶν αἱ ἰδέαι, οἵας τινὲς φασίν, οὐκ ἔσται τὸ ὑποκείμενον οὐσία· ταύτας γὰρ οὐσίας μὲν ἀναγκαῖον εἶναι, μὴ καθ' ὑποκειμένου δέ· ἔσονται γὰρ κατὰ μέθεξιν». Ἐκ τούτου δὴ τρί' ἄττα συμβαίνει· πρῶτον ὅτι τῶν οὐσιῶν ὡς χωριστῶν οὐκ ἔσται ἐπιστήμη (ἀπολελυμέναι), εἶτα δὲ ὅτι τὰ ὄντα οὐκ ἔσται ὄντα· οὐ γὰρ ἐν αὐτοῖς ἡ οὐσία καὶ τὸ τὶ ἦν εἶναι (τοῦτο γὰρ οὐσία), καὶ τρίτον ὅτι οὔτε καθ' ὑποκειμένου τοῦδε τοῦ πρὸς γνῶσιν προκειμένου, ἀλλὰ κατὰ μέθεξιν καὶ οὐκ ἐν τοῖς αἰσθητοῖς αὐτοῖς. Ὅτι δ' οὕτως ἐχουσῶν τῶν οὐσιῶν οὐκ ἔστιν ἐπίστασθαι, τρανώτατα δέδεικται ἐν Μετ. Μ. ε΄. κεφ. κ. ε. ἀνάγκη γὰρ πρώτου κινοῦντος καὶ συνδρομῆς τῆς ὕλης καὶ τοῦ οὗ ἕνεκα. Πῶς δ' ἄν τις εἰδείη ὄν τι, εἰ μὴ πρότερον τὸ πόθεν, καὶ πῶς ἔχει, καὶ τὴν ἐνέργειαν τὴν πρός τι τέλος εἰδείη; ταῦτα δὲ ποῦ ἄλλοσε ἢ ἐν τῷδε τῷ ὑποκειμένῳ πρὸς ζήτησιν; εἰ δ' ἐν τῷδε τὶς χρεία χωριστὴν τοῦδε ἰδέαν πλάττειν, καὶ ἀφιέναι τὸ παρὸν καὶ ἄλλο τι ζητεῖν; πῶς δὲ δεῖ ζητεῖν; ταῦτα γοῦν ὅσας δυσχερείας ἔχει αὐτῷ τῷ Ἀριστοτέλει εἴρηται καὶ περίεργον ἡ ἀντιγραφή. Εἰ οὖν διὰ τοῦ τὰς ἰδέας τιθέναι οὐκ ἔστι

ἐν τῇ ψυχῇ, καὶ τοῦτο ὅ ἦν πρὸς τὸ γενέσθαι τόδε. «Λέγω δὲ οὐσίαν ἄνευ ὕλης τὸ τὶ ἦν εἶναι». ἔτι δέ φανερώτερον τοῦτο καθίσταται ἐκ τοῦ η΄. κεφ. 1033 β. 7 «τοῦτο γάρ (τὸ τὶ η. ε.) ἐστιν ὅ ἐν ἄλλῳ γίγνεται, ἢ ὑπὸ τέχνης, ἢ ὑπὸ φύσεως ἢ δυνάμεως» ὅρ. καὶ 1029 β. 13. π. γεν. καὶ φθ. Β΄. θ΄. 335 β. 26. κ. ε. καὶ Ῥητ. Γ΄. δ΄. 1415 α. 12 «δεῖγμά ἐστι τοῦ λόγου ἵνα προειδῶσι περὶ οὗ ἦν ὁ λόγος καί μὴ κρέμηται ἡ διάνοια» καὶ Α΄. στ΄. 1363 α. 8. «οὗ γὰρ πάντες ἐφίενται τοῦτ' ἀγαθόν ἦν» π. ζω. γεν. Β΄. ε΄. 741 α. 15 ἐξ ὧν πάντων πασιφανές ὅτι ὅ ἦν ζητεῖται πὸς τὸ τόδε τι εἶναι, ἡ πρώτη ἀρχὴ καὶ αἰτία παντὸς πράγματος.

13) Μετ. Ζ. στ΄. 1031 β. 6. καὶ Λ. θ΄. 1075 α. 1.

14) Μετ. Ι. θ΄.... ὅθι δέδεικται ὅτι οὐδὲν πρὸς τὴν οὐσίαν τά τε συμβεβηκότα καὶ πάθη· «τῶν γὰρ κατὰ συμβεβηκός ὄντων ἢ γιγνομένων καὶ τὸ αἴτιόν ἐστι κατὰ συμβεβηκός». Μετ. Ε. β΄. 1027 α. 7.

γνῶναι, ἀνάγκη αὐτὸ τὸ ὑποκείμενον θεωρεῖν [15])· ἐν αὐτῷ δὲ τῷ ὑποκειμένῳ οὐ τὰ συμβεβηκότα ἢ τὰ πάθη, ἀλλὰ τὰ καθ' ἑαυτὰ καὶ τὴν πρώτην ἀρχὴν καὶ αἰτίαν τῆς παραγωγῆς καὶ ἐπ' αὐτοῦ τοῦ ζητουμένου, καὶ οὕτως ἔσται τό τε ὑποκείμενον καὶ ἡ οὐσία ταὐτό, ὅτι ἐν αὐτῷ ζητεῖται καὶ εὑρίσκεται τὸ τὶ ἦν εἶναι, ἀδύνατον δ' ἄλλως ζητεῖν καὶ εὑρεῖν [16]). 'Αλλ' ἐν τοῖς πράγμασι ζητεῖν καὶ εὑρεῖν τὴν αἰτίαν οὐκ ἐν αὐτοῖς οὖσαν, ἐκφαινομένην δ' ἐν αὐτοῖς, οὐ ταὐτὸν ἆρα τῇ πλατωνικῇ ἰδεολογίᾳ ἐν ἄλλοις τὴν οὐσίαν τιθείσῃ; πῶς δ' ἔσται ταὐτὸ τὸ τῇ αἰσθήσει ὑποκείμενον μὴ ἐνούσης ἐν αὐτῷ τῆς ἀρχῆς καὶ αἰτίας, ἀλλὰ ἐν ἄλλῳ τινί, οἷον ψυχῇ ἢ φύσει; πλὴν λόγῳ μὲν ἐν ἄλλῳ, ὄντως δ' ἐν αὐτῷ τῷ πράγματι, εἰ γὰρ μὴ ἦν συνανῃρεῖτο ἂν τὸ πρᾶγμα, ἐνυπάρχοντα δὲ δηλοῦσι τόδε ἢ τόδε. 'Αλλ' ἐνυπάρχει ἡ ἀρχικὴ αἰτία ἐν τοῖς ἀπὸ τέχνης ἐνεργήσασά ποτε καὶ παυσαμένη ἐνεργεῖν ἀποτελεσθέντος τοῦ πράγματος; ἐνυπάρχει ἀληθῶς, εἴπερ τὸ τέλος ἐνυπάρχει· ταὐτὸν γὰρ τὸ πρῶτον κινοῦν. Πρὸς δέ, ἀσύγγνωστον τιθέναι ἀρχὰς καὶ αἰτίας, ἢ μᾶλλον παραδείγματα, ὧν τῇ μεθέξει γίγνεται τόδε τι, τὶ δὲ τὸ ποιοῦν αἴτιον μὴ ζητεῖν, ἀλλ' ἰδέαν τινὰ τιθέναι, ἥν αὖ δεῖξαι ἀνάγκη, τίς αὕτη. Ἂν οὖν ἐν τῷ πράγματι αὐτῷ ζητῶμεν εὑρήσομεν, οὐδέποτε δ' ἂν ἐκτὸς αὐτοῦ, οἷον ζητοῦντες τί ἐστι πέλεκυς, εὑρήσομεν ὅτι σίδηρος καὶ ξύλον· ἀλλ' οὐ τὸ τὶ ἦν τοῦτο· τί οὖν; ἡ ἀνάγκη τοῦ τέμνειν· τίς δ' ἡ ἐνέργεια αὐτοῦ τοῦ πελέκεως; αὐτὸ τὸ τέμνειν· ἂν γὰρ τοῦτο μὴ ᾖ οὐκ ἔσται πέλεκυς ἀλλ' ὁμώνυμον, ἡ δ' οὐσία αὐτοῦ μᾶλλον ἡ ἐνέργεια, τὸ τῆς αἰτίας προϊόν, οἱονεὶ ταὐτό, πρότερον δ' ἡ αἰτία, αὕτη δ' οὐκ ἰδέας τινος χωριστῆς ἀπαύγασμα, ἀλλ' ἐν τῇ διανοίᾳ τοῦ τεχνίτου τὴν ἀρχὴν ἔχουσα. Ἂν οὖν μὴ ᾖ τὸ πρᾶγμα καὶ ἡ ἐνέργεια αὐτοῦ πῶς γνωσόμεθα; ἂν δὲ μὴ ᾖ κίνησις ἡ πρώτη καὶ τὰ συνδραμόντα πῶς ἔσται γένεσις; ἀνάγκη ἄρα τὸ πρᾶγμα ὑπάρχειν, καὶ ἐν αὐτῷ καὶ τὰ καθ' ἑαυτὰ ζητεῖν, ἂν δὲ τοῦτο, ἡ οὐσία ζητεῖται ἐν

---

15) Σημειωτέον ὅτι ὑποκείμενον πᾶν τὸ πρὸς ζήτησιν προκείμενον καλεῖ, ἄλλοθι γὰρ ὑποκείμενον τὴν ὕλην φησίν, ἐξ ἧς τόδε ἢ ἐκεῖνο, ἐνταῦθα δὲ τὴν οὐσίαν, οὐ μὴν ἐκτὸς ὕλης (ἡ γὰρ ὕλη ἐν παντὶ), τὸ ὑποκείμενον καθ' οὗ τἆλλα κατηγορεῖται, ἡ οὐσία καὶ τὸ εἶδος, ἀχώριστα μέν, πρότερα δέ. (ὅρ. Μετ. Ζ. γ'. 1029 α. 2—7).

16) Ἄπορον πῶς ὁ Βόνιτσ τὸν Ἀριστ. τῇ πλατωνικῇ διδασκαλίᾳ τὴν ἑαυτοῦ ἀναμίξαι φησιν (Platonicae doctrinae manifesto sua ipsius immiscuit placita), οὖσαν πάντῃ προφανῶς διάφορον. ὁ μὲν γὰρ Ἀριστ. ἀρχὴν καὶ αἰτίαν παντός ζητεῖ ἀλλ' ἐν αὐτοῖς τοῖς πράγμασι, καὶ ζητῶν ζητεῖ πρῶτον τὸ πρῶτον κινῆσαν, τοῦτο δὲ οὐχ ἁπλῶς καὶ τυφλῶς κινῆσαν, ἀλλὰ τέλος προθέμενον, τὸ δὲ τέλος ἐν αὐτοῖς τοῖς οὖσιν ἐνορᾷ, θεωρῶν δὲ πάντα τὰ ὄντα ἐκ φύσεως ἢ τέχνης γιγνόμενα εἰς δύο καθόλου ἀρχὰς ἀνάγει καὶ αἰτίας (ὅρ. σημ. 12), ὁ δὲ Πλάτων ἑκάστου ἰδέαν τίθησι καὶ ταύτην χωριστὴν καὶ ἀκίνητον καὶ ἀριθμόν, ἃ πῶς ἐστιν εἰδέναι μὴ αὐτὸ τὸ τόδε καὶ τούτου τὴν πρὸς τὸ τέλος ἐνέργειαν θεωροῦντα; (μέρ. β'. σελ. 318) ὅρ. καὶ π. ζω. μορ. Α'. δ'. 644 α. 23, ᾗ οὐσίαι τὰ ἔσχατα εἴδη καλοῦνται, κ. α. . . .

αυτῷ δὴ τῷ πράγματι, ἄλλως οὐκ ἔσται ζήτησις ἀλλὰ κενολογία [17]). Τοῦτο οὖν ἐστι τὸ τὶ ἦν εἶναι, τὸ τὰς ἀρχὰς καὶ αἰτίας ζητεῖν, καὶ τοῦτό ἐστι τὸ τί ἐστι ζητεῖν, τὸ εὑρεῖν τὸ τὶ ἦν εἶναι παντί, τὸν λόγον τῆς οὐσίας ἄνευ τῆς ὕλης· ἡ γὰρ ὕλη ἀδιάφορος, καὶ ἀνάγκη ὑπάρχειν, μᾶλλον δὲ τὸ εἶδος, ὥστε ἄμφω ἀναγκαῖα καὶ τῇ συνόδῳ αὐτῶν γίνεται πᾶν, καὶ οὐκ ἔστι τι παρὰ ταῦτα [18]), πρότερον δὲ τὸ εἶδος καὶ κυρίως αἰτία [19]) ὡς παντὶ γνωστόν [20]).

---

17) Μετ. Μ. ε'. 1079 β. 24 «τὸ δὲ λέγειν παραδείγματα εἶναι καὶ μετέχειν αὐτῶν τἆλλα, κενολογεῖν ἐστι καὶ μεταφορὰς λέγειν ποιητικάς· τὶ γὰρ ἐστὶ τὸ ἐργαζόμενον πρὸς τὰς ἰδέας ἀποβλέπον; ἐνδέχεται γὰρ καὶ εἶναι καὶ γίγνεσθαι ὅμοιον ὁτιοῦν καὶ μὴ εἰκαζόμενον· ὥστε καὶ ὄντος Σωκράτους καὶ μὴ ὄντος γένοιτ' ἂν οἷον Σωκράτης . . .» ὅρ. καὶ π. γεν. καὶ φθ. Β'. θ'. 335 β. 10—24.

18) Μετ. Ζ. η'. 1033 β. 26 «φανερὸν ἄρα ὅτι ἡ τῶν εἰδῶν αἰτία, ὡς εἰώθασί τινες λέγειν τὰ εἴδη, εἰ ἔστιν ἄττα παρὰ τὰ καθ' ἕκαστα, πρός τε τὰς γενέσεις καὶ τὰς οὐσίας οὐδὲν χρήσιμα· οὐ δ' ἂν εἶεν διά γε ταῦτα καθ' αὐτάς». Εἴδη ἐνταῦθα τὰς πλατ. ἰδέας ὁ Ἀριστ. λέγει· ὅρ. δέ καὶ ιδ'. κεφ.

19) Μετ. Ζ. γ'. 1029 α. 5. Η. γ'. 1043 β. 1. «Τὸ γὰρ τὶ ἦν εἶναι τῷ εἴδει καὶ τῇ ἐνεργείᾳ ὑπάρχει».

20) Ὅτι τῷ τί ἦν εἶναι ἀντὶ τῶν καθ' ἕκαστα «τὸ ἀγαθῷ εἶναι τὸ ἑνὶ εἶναι, τὸ ἀνθρώπῳ εἶναι» καθόλου ὁ Ἀριστ. χρῆται ὡς τῷ Ὕβερβεγ (ἱστορ. τῆς φιλοσ. τόμ. α'. σελ. 193) δοκεῖ, οὐκ ἀληθές, μᾶλλον δ' ὅτι ἀκριβέστερον λέγων, τὸ τὶ ἦν εἶναι λέγει (Μετ. Ε. α'. 1025 β. 28. Ζ. ιζ' 1041 α. 20. Η. α'. 1042 α. 12. β. 1043 α. 14.), τὸ γὰρ εἶναι μετὰ δοτικῆς οὐ πάνυ τοι ἐναργῶς ἐκπεφρασμένον δοκεῖ· εἰ γὰρ ἀντὶ δοτ. τεθειμένον ἦν, τὶς ἡ χρεία ἑτέρας δοτικῆς; ὡς, «τὸ τὶ ἦν εἶναι ἵππῳ, τὸ τὶ ἦν εἶναι ταὐτὸν καὶ πῶς οὐ ταὐτὸν ἑκάστῳ» . . . (Μετ. Ζ. στ'. 1031 β. 30 καὶ 1032 α. 10. ζ'. 1032 β. 2. ε'. 1030 β. 34 καὶ 26. δ'. 1030 α. 29 καὶ 1029 β. 20 καὶ 26 καὶ 27 Η. στ'. 1045 α. 33. Τοπ. Ζ'. α'. 139 α. 33. Ἀναλ. ὑστ. Β'. η'. 93 α. 12 . . .). Πρὸς δὲ τούτοις πῶς τὸ τὶ ἦν ἀντὶ δοτικῆς ληπτέον ἀκατάληπτόν μοι ἐστὶν· ὥστε τὸ τὶ ἦν εἶναι οὐδὲν ἕτερον σημαίνειν δοκεῖ, ἢ τὸ εἶναι ἑκάστῳ τὶ ἦν, ὁρίσαι τὴν οὐσίαν ἑκάστου κατὰ τοῦτο, καθ' ὅ ἦν, κατὰ τὰ πρότερον· τὸ γὰρ τὶ ἐστιν εἶναί τινι, σημαίνει καθολικώτερον τὴν οὐσίαν τοῦ πράγματος, ἀκριβέστερον δὲ καὶ καθ' αὑτὸ ἐκτὸς πάσης ὕλης τὸ τὶ ἦν τινι, ὅρ. καὶ Ἠθ. Νικ. Β'. στ'. ᾗ, κατὰ τὸ εἶναι, εἴη ἂν ἡ ἀρετὴ καὶ ἀκρότης, κατὰ δὲ τὸ τὶ ἦν, μόνον μεσότης. Ὅτι δὲ τὸ τί ἦν ἀντὶ τοῦ τί ἐστιν, ὡς Ἀλεξ. τῷ Ἀφροδ. δοκεῖ, αὐτοσχεδιάζειν ἐστιν, ὅτι δ' αὖ τὸ τὶ ἦν παρεμβεβλημένον, ὡ τῷ ἡμ. Κοραῇ, ἀγνοεῖν (ὅρ. Ηθ. Νικ. Β'. στ'. ἐκδ. Παρισσ. 1822). Πᾶσα οὖν ἑτέρα ἑρμηνεία βεβιασμένη. Ὅτι δ' οὐ πλατωνίζουσα ἡ ἑρμηνεία ἣν ἀπεδώκαμεν δῆλον ἐκ τῶν ἀνωτέρω (ὅρ. Ὕβερβεγ αὐτόθι).

Κεφ. δ'.

Τὸ τί ἐστιν.

Τοῦτό γε δὴ σημαίνοντος τοῦ τὶ ἦν εἶναι, τὸ αἴτιον καὶ τὸν λόγον ἄνευ τῆς ὕλης τὶ τούτου τὸ τὶ ἐστι διαφέρει; ἐν κεφαλαίῳ λέγοντες ἐροῦμεν ὅτι ταὐτὸν μέν, καθολικώτερον δὲ τὸ τί ἐστιν· τὸ δὲ τί ἦν εἶναι οὐ πανταχοῦ, ἀλλ' ἐπὶ τῶν ὄντως οὕτως ἐχόντων καὶ οὐκ ἄλλως, οἷον, ἂν εἴπωμεν τί ἐστιν ἄνθρωπος; ἐροῦμεν ζῶον ὑπόπουν δίπουν . . . ἢ ζῶον ἥμερον φύσει, ἢ ζῶον λογιστικόν, ἢ κινητικὸν κατὰ τόπον, ἢ ἐπιστήμης δεκτικόν, ἢ ἐκ ψυχῆς καὶ σώματος συνεστώς. Ἀλλὰ πάντες οὗτοι οὐ τὸ τὶ ἦν εἶναι δηλοῦσιν, ἀλλὰ τὸ τί ἐστι, τοῦτο δ' ὕστερον καὶ οὐ τὸ πρῶτον αἴτιον, καὶ ἴδια καὶ διαφοραί, οὐ μέντοι ἡ πρώτη· ἀνάγκη δὲ ἀναγαγεῖν εἰς τὰ πρῶτα γένη καὶ τὴν πρώτην διαφορὰν ζητεῖν καὶ καθ' αὑτὸ και τὴν ἀρχὴν τὴν πρώτην. Ὡσαύτως, τί ἐστι τετραγωνισμός; τὸ ἴσον ἑτερομήκει εἶναι ὀρθογώνιον ἰσύπλευρον καὶ τοῦτο μὲν ἐστίν, οὐκ ἦν δὲ τοῦτο τὸ αἴτιον ἀλλ' ἡ τῆς μέσης εὕρεσις[1]), εἰ τὸ πρότερον αἴτιον· ἐν γὰρ τῷ τὶ ἐστι πάντα ὑπάρχει καὶ τὸ ὄνομα καὶ συμβεβηκότα καὶ πάθη καὶ ἴδια καὶ διαφοραί, ὁ καλῶς δ' ὁριζόμενος οὐ πάντα λήψεται, ἀλλὰ τὰ καθ' αὑτὰ καὶ πρῶτα αἴτια, καὶ τὰ καθόλου, ὡς ἐν τοῖς Ἀναλυτικοῖς δέδεικται[2]), καὶ ἄνευ ὕλης· αὕτη γὰρ ὑποκείμενον καὶ δυνάμει ἐστὶ τόδετι, συνδραμούσης δὲ τῆς ὕλης γίγνεται ἐντελεχείᾳ[3]).

---

1) π. ψυχ. Β'. β'. § 1. «οὐ γὰρ μόνον τὸ ὅτι δεῖ τὸν ὁριστικὸν λόγον δηλοῦν, ὥσπερ οἱ πλεῖστοι τῶν ὅρων λέγουσιν, ἀλλά καὶ τὴν αἰτίαν ἐνυπάρχειν καὶ ἐμφαίνεσθαι. Νῦν δ' ὥσπερ συμπεράσματα οἱ λόγοι τῶν ὅρων εἰσίν, οἷον, τί ἐστι τετραγωνισμός; τὸ ἴσον ἑτερομήκει ὀρθογώνιον εἶναι ἰσόπλευρον. ὁ δὲ τοιοῦτος ὅρος λόγος τοῦ συμπεράσματος. ὁ δὲ λέγων ὅτι ἐστιν ὁ τετραγωνισμὸς μέσης εὕρεσις, τοῦ πράγματος λέγει τὸ αἴτιον.» ὅρ. καὶ α'. κεφ.

2) Ἀναλ. ὑστ. Β'. ιγ'. 97 α. 23 κ. ε.

3) «Οὐ μόνον δὲ περὶ τῆς οὐσίας ὁ λόγος δηλοῖ τὸ μὴ γίγνεσθαι τὸ εἶδος, ἀλλὰ περὶ πάντων ὁμοίως τῶν πρώτων κοινὸς ὁ λόγος, οἷον, ποσοῦ ποιοῦ καὶ τῶν ἄλλων κατηγοριῶν. γίγνεται γὰρ ὥσπερ ἡ χαλκῆ σφαῖρα, ἀλλ' οὐ σφαῖρα, οὐδὲ χαλκός, καὶ ἐπὶ χαλκοῦ εἰ γίγνεται (ἀεὶ γὰρ δεῖ προϋπάρχειν τὴν ὕλην καὶ τὸ εἶδος). οὕτω καὶ ἐπὶ τοῦ τί ἐστι, καὶ ἐπὶ τοῦ ποιοῦ καὶ ποσοῦ καὶ τῶν ἄλλων ὁμοίως κατηγοριῶν. οὐ γὰρ γίγνεται τὸ ποιόν, ἀλλὰ τὸ ποιὸν ξύλον, οὐδὲ τὸ ποσόν, ἀλλὰ τὸ ποσὸν ξύλον ἢ ζῶον. Ἀλλ' ἴδιον τῆς οὐσίας ἐκ τούτων λαβεῖν ἐστιν ὅτι ἀνάγκη προϋπάρχειν ἑτέραν οὐσίαν ἐντελεχείᾳ οὖσαν, ἢ ποιεῖ, οἷον ζῶον, εἰ γίγνεται ζῶον. ποιὸν δὲ ἢ ποσὸν οὐκ ἀνάγκη ἀλλ' ἢ δυνάμει μόνον.» Μετ. Ζ. ί. 1034 α. 7. ἐξ ὧν δείκνυται ὅτι τὴν πρώτην οὐσίαν ζητεῖν δεῖ καὶ τὸ καθόλου. εἰ δέ καὶ τὸν τῶν μερῶν λόγον ἐν τῷ τοῦ ὅλου λόγῳ, ἢ περίεργον, καὶ πότε μέν, πότε δ' οὔ, ἐν τῷ ια'. κεφ. πεπραγμάτευται καὶ δέδεικται ὅτι ὁ τῶν μερῶν λόγος ὕστερος τοῦ τοῦ ὅλου, καὶ τὰ τοῦ εἴδους μέρη πρότερα τῶν τοῦ συνόλου. ταῦτα γάρ καὶ ἄλλως ἂν ἔχοι, οἷον ὁμωνύμως, τὰ δὲ καθ' αὑτὰ ἀναλλοίωτα, «τὸ δ' ὑλικὸν οὐδέποτε καθ' αὑτὸ λεκτέον.»

Ὅτι δὲ ταῦτα οὕτως ἔχει δῆλον κἀκ τῶνδε· «ἀλλὰ λόγος μὲν ἔσται ἑκάστου καὶ τῶν ἄλλων τί σημαίνει, ἐὰν ᾖ ὄνομα, ὅτι τόδε τῷδε ὑπάρχει, ἢ ἀντὶ λόγου ἁπλοῦ ἀκριβέστερος· ὁρισμὸς δ' οὐκ ἔσται οὐδὲ τὸ τὶ ἦν εἶναι· ἢ καὶ τό τί ἐστι πλεοναχῶς λέγεται· καὶ γὰρ τὸ τὶ ἐστιν ἕνα μὲν πρότον σημαίνει τὴν οὐσίαν καὶ τὸ τόδε τι, ἄλλον δ' ἕκαστον τῶν κατηγορουμένων ποσὸν ποιὸν καὶ ὅσα ἄλλα τοιαῦτα»[4]). Τὸ οὖν τί ἐστι καὶ ἐπὶ τοῦ τόδε τι καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν λέγεται, οὐ μέντοι καὶ τὸ τὶ ἦν εἶναι, ἀλλ' ἐπὶ τῆς πρώτης οὐσίας καὶ τοῦ εἴδους ἄνευ τῆς ὕλης. Καὶ τὸ μὲν τί ἐστι δηλώσει καὶ λόγος τις ἐκ τῶν ἐνυπαρχόντων παντὶ πράγματι, καὶ ἀκριβῶς, ἀλλ' οὐκ ἔσται τοῦτο ὁρισμός, τὸ δὲ τὶ ἦν εἶναι. Ἐκ τούτων δὲ καταφαίνεται ὅτι τὸ ἀληθὲς τί ἐστι τὸ τὶ ἦν εἶναι ἐστίν· πανταχοῦ γὰρ οὗ τὸ τί ἐστι ζητεῖται τὸ γένος καὶ ἡ πρώτη διαφορὰ ζητεῖται, καὶ αἱ πρῶται ἀρχαί. Ἀλλὰ ταῦτα πρότερα, εἰ δὲ πρότερα, ἦν, εἰ δ' ἦν, τὸ εἶναι αὐτοῖς ἐστι τὸ, ὅ ἦν, καὶ τὸ τί ἐστιν ἀκριβέστερον διὰ τοῦ τὶ ἦν ἐκδηλοῦται[5]).

Φανερώτερα δὲ τὰ εἰρημένα καθίσταται διασκοπουμένοις τὸ ιη'. κεφ. τοῦ Δ τῆς Μετ. ἐν ᾧ περὶ τοῦ καθ' ὃ ὁ λόγος. Ἐνταῦθα ὁ καθ' αὑτὸν Καλλίας ἐστὶ τὸ τὶ ἦν εἶναι Καλλίᾳ, καὶ εἷς οὗτος τρόπος τοῦ καθ' αὑτό, ἡ τῆς πρώτης αἰτίας ἢ διαφορᾶς ζήτησις, ἕτερος δὲ τρόπος «ὅσα ἐν τῷ τί ἐστιν ὑπάρχει, οἷον, ζῶον ὁ Καλλίας καθ' αὑτόν», ἀλλ' εἰ ζῶον ὁ Καλλίας καθ' αὑτό, πῶς οὐ καὶ δίπουν, καὶ αἰσθητικόν, καὶ ὑπόπουν καὶ σχιζόπουν; «ἐν γὰρ τῷ λόγῳ ἐνυπάρχει τὸ ζῶον». ἀλλ' οὐ καὶ αἱ λοιπαὶ διαφοραί; «ζῶόν γάρ τι ὁ Καλλίας», ὅμως καὶ ἥμερον καὶ κινητικόν· καὶ ταῦτα γὰρ ἐν τῷ λόγῳ ἐνυπάρχει[6]). Πλὴν εἴρηται ἀνωτέρω

1035 α. 8. ὅρ. καὶ Φυσ. Β'. α'. Σημειωτέον δ' ὧδε ὡς ἐν παρόδῳ ὅτι ὁ Χέρτλιγκ οὐκ ἀκριβῶς τὸ τ. η. εἶναι ἡρμήνευκεν, ἐ παναπαύεται δὲ τοῖς τῷ Σβέγλερ εὐτελῶς εἰρημένοις, καὶ οὐσίαν, λόγον, εἶδος καὶ τὰ τοιαῦτα εἰσάγει οὐδὲν πρότερον διασαφησάμενος (ἐν τῷ μνημ. συγγρ.).

4) Μετ. Ζ. δ'. 1030 α. 14.

5) Ἀναλ. ὑστ. Β'. γ'. 90 β. 30. ζ'. 92 β. 26 ί. 93 β. 29 Τοπ. Ζ'. α'. 139 α. 29. ε'. 142 β. 27. κ. λ. π. Ὅτι δὲ τὸ τὶ ἦν εἶναι ἀνάγκη καὶ ἐπὶ τῶν ἐχόντων ὕλην ῥηθῆναι ἐν οἷς ἅμα ἄμφω, καὶ ἐν τοῖς μέν ἔχει τὰ μόρια τοῦ ὁριζομένου, ἐν ἄλλοις δ'οὔ. ὅρ. ἐν Μετ. Ζ. κεφ. ί. — ι β'. Καθόλου δὲ ἐκ τῆς ἐν τῷ Ζ. σχεδὸν παντὶ ζητήσεως κατάδηλον καθίσταται, ὅτι τό πρῶτον καὶ κυρίως τό τί ἦν εἶναι, ἀλλ' οὐκ ἐν παντὶ τὸ τὶ ἦν εἶναι. ἐν πολλοῖς γὰρ ταὐτόν δεῖ εἶναι τῷ τί ἐστιν, ὃ ἐπὶ πάντων λέγεται καὶ τῶν πρώτων οὐσιῶν, καὶ τοῦ συνόλου, καὶ τῶν ἑτέρων κατηγοριῶν. Ἀλλ' εἴ τις πρῶτον και κυρίως καὶ ἀκριβῶς ὁρίσαι ἐθέλοι, τὸ τὶ ἦν ζητήσει, καὶ τοῦτο ἦν τὸ τεθειμένον τῷ Ἀρ., ὥς γ' ἐμοὶ δοκεῖ, ἔναντι τῶν ὁριζομένων τὸ σύνολον, καὶ φαινόμενα, καὶ ἄτομα εἴδη, καὶ οὐ τὴν ἀρχὴν τὴν πρώτην ζητούντων καὶ αἴτια καὶ γένη καὶ διαφορὰς πρώτας· ἐπὶ γὰρ πασῶν τῶν διαφορῶν τὸ τί ἐστι λέγεται ἀλλ' οὐ τοῦτο ἡ οὐσία κυρίως. Ὅρ. Μετ. Η. β'. 1042 β. 15—25 καὶ Ζ. ιζ'. καὶ α'. κεφ.

6) Ἄπορον δέ πῶς ὁ Τρενδελ. (π. ψυχ. σεχ. 193—194) φησίν ὅτι οὐδέποτε τὸ τί ἐστι τοῖς τῇ διανοίᾳ ληπτοῖς ἀποδίδοται, καὶ δή θεωρῶν ταὐτὰ

ὅτι περίεργον ἀπαριθμῆσαι πάσας τὰς διαφοράς, εἰ καὶ ἐν τῷ τί ἐστιν ἐνυπάρχουσιν· αὗται γὰρ ὕστερον· τὸ δὲ πρότερον; τὸ τὶ ἦν· τὶ δ' ἦν; ψυχὴ καὶ σῶμα· ἀλλὰ τὸ σῶμα ὕστερον· ψυχὴ ἄρα. Δῆλον οὖν ὅτι οὐ μόνον καθολικώτερον καὶ ἐπὶ πολλῶν ἢ μᾶλλον πάντων λέγεται τὸ τί ἐστιν, ἀλλὰ καὶ ἀκριβέστερον καὶ πρώτως καὶ κυρίως, ἐπὶ τῶν προτέρων καὶ πρώτων αἰτίων. Φανερώτερον δ' ἐν τῷ Ε. α'. κεφ. ᾗ περὶ τοῦ πῶς δεῖ ζητεῖν καὶ ὁρίσασθαι τὸ τὶ ἐστι διώρισται· καὶ γὰρ καὶ ἐξ ὑποθέσεως τὸ τὶ ἐστιν ἂν ληφθείη. 'Αλλὰ μὴν οὐχ οὕτω χωρεῖν χρή, ἀλλ' ἀνάγειν τὰ μὲν ἀπὸ τέχνης εἰς νοῦν ἢ διάνοιαν· ταῦτα γὰρ πρῶτα αἴτια τῶν τεχνητῶν, τῶν δὲ φύσει ὅσα μὲν συνειλημμένα, εἰ «καὶ ἀεὶ ἔχει ὕλην», εἰς τὸ πρῶτον κινοῦν, τὰ δ' ἄλλα εἰς τὸ πρῶτον αἴτιον καὶ τὸ εἶδος «διότι καὶ περὶ ψυχῆς ἐνίας θεωρῆσαι τοῦ φυσικοῦ, ὅσα μὴ ἄνευ τῆς ὕλης ἐστὶν». Ἔτι δὲ φανερώτερα τὰ εἰρημένα ἐν τῷ γ'. κεφ. Μετ. Ζ. ᾗ πρότερον τὸ τὶ ἦν εἶναι καὶ τὸ εἶδος δείκνυται καὶ τῆς ὕλης καὶ τοῦ συνόλου. Λέγω δὲ τὴν μὲν ὕλην οἷον τὸν χαλκόν, τὴν δὲ μορφὴν τὸ σχῆμα τῆς ἰδέας, τὸ δ' ἐκ τούτων τὸν ἀνδριάντα τὸ σύνολον. Ὥστε εἰ τὸ εἶδος πρότερον καὶ μᾶλλον ὄν, καὶ τοῦ ἐξ ἀμφοῖν πρότερον ἔσται διὰ τὸν αὐτὸν λόγον, καὶ τοῦτο ἡ οὐσία καθ' ἧς τἆλλα κατηγορεῖται[7]), τὸ τὶ ἦν εἶναι[8]).

Κεφ. ε'.

Ἡ ὕ λ η.

§ 1. 'Εκ τῶν ἀρτίως εἰρημένων δῆλον ὅτι τὴν οὐσίαν μίαν ἀνάγκη εἶναι, καὶ ταύτην τὴν πρώτην καὶ καθ' αὑτὸ ἐν τοῖς καθ' ἕκαστα, καὶ τόδε τι οὖσιν· εἰ δὲ καὶ ἕτερα οὐσίαι λέγονται, δοκοῦσιν εἶναι, οὐμὴν καὶ ὄντως εἰσίν, ἀλλὰ τῆς πρώτης ἕνεκα καὶ ὕστεραι, καὶ οὐ τὸ ὑπο-

χωρία, ἃ ἐναργέστατα τοὐναντίον περιέχουσιν. ὅρ. καὶ τοπ. Α'. θ'. 103 β. 27 «Δῆλον δ' ἐξ αὐτῶν ὅτι ὁ τό τί ἐστι σημαίνων, ὁτὲ μὲν οὐσίαν σημαίνει, ὁτὲ ποιόν, ὁτέ δὲ τῶν ἄλλων τινὰ κατηγοριῶν.»

7) τἆλλα ἐνταῦθα τὰς ἄλλας κατηγορίας σημαίνει· πᾶσαι γὰρ τῆς οὐσίας κατηγοροῦνται. Κατηγ. ε'. καὶ Μετ. Α. θ'. 990 β. 31.

8) ὧδε δ' οὐδεὶς λὸγος περὶ τοῦ τί ἐστι, μόνον δὲ περὶ τοῦ προτέρου, ὅτι τοῦτό ἐστι τὸ τί ἐστιν ἐν παντί, τὸ τὶ ἦν εὑρεῖν, τοῦτο δ' ἐν τῷ τόδε τι, οὐκ ἐν τοῖς κατηγορουμένοις αὐτοῦ, ἀλλ' ἐν τῷ πρώτως καὶ κυρίως· οὐ καλῶς δ'ἡμῖν γε δοκεῖ (π. ψυχ. σελ. 192) φάναι τὸν Τρενδελεμβούργ τὸ τὶ ἦν εἶναι ἀεὶ εἰς τὸ τόδε τι ἀναφέρεσθαι («τὸ τὶ ἦν εἶναι semper ad τόδε τι refertur i. e. ad certum aliquid et individuum»), καὶ γὰρ καὶ τὸ τί ἐστιν. εἰ δ' ἄλλοθι τῷ Τρενδελεμβούργ ἐκτενέστερον καὶ ἀκριβέστερον περὶ τὰ τοιαῦτα πεφιλοσόφηται, οὐκ ἴσμεν, οὐ γὰρ οἷόν τ' ἐστὶν ἡμῖν πᾶσι τοῖς ὑπ' αὐτοῦ πεπονημένοις ἐντυχεῖν, οὐ δ' ἂν ἐγκαλοῖ τις ἡμῖν, ὡς ἐγῷμαι ἐνδείας βιβλίων ἕνεκεν.

κείμενον οὐδ ἐν ὑποκειμένῳ, ἀλλὰ κατὰ τοῦ ὑποκειμένου[1]). 'Επεὶ δὲ καὶ ἡ ὕλη οὐσία ἐλέγετο εἶναι, περὶ ταύτης νῦν ἐπισκεπτέον, μή τι ἐμποδὼν τῇ περαιτέρω ζητήσει γένηται, ἴσως δὲ καὶ ἐναργέστερον δειχθήσεται, ἥτις ἡ πρώτη οὐσία ἐστίν.

'Απλῶς μὲν οὖν ὕλη κατὰ τὸν 'Αριστοτέλη λέγεται τὸ ἐξ οὗ γίγνεται πάντα τὰ ὄντα τά τε κατὰ φύσιν καὶ τὰ κατὰ διάνοιαν, ὅπερ οὐκ ἔστι τόδε τι, ἀλλὰ δυνάμει καὶ τρόπον τινὰ οὐκ ὄν, τὸ ἔσχατον καὶ ἐκτὸς παντὸς εἴδους, καὶ ἄμορφον, καὶ ὑποκείμενον ἀλλ' οὐχ ὡς εἶδος, τὸ ἔσχατον καὶ οὐκ ἐνεργείᾳ τοιόνδε ἢ τοιόνδε ὄν, καὶ ἡ πρώτη ὡς εἰπεῖν στέρησις. Καθόλου δὲ εἰπεῖν, τὸ ἐνυπάρχον πρῶτον εἴτε νοητόν εἴτε αἰσθητόν, τοῦτο ὕλη[2]). 'Εκ τούτων δὲ δῆλον αὖ ὅτι διττὸν ἡ ὕλη νοητή καὶ αἰσθητή· «τὰ μὲν γὰρ στοιχεῖα τῶν συλλαβῶν καὶ ἡ ὕλη τῶν σκευαστῶν καὶ τὸ πῦρ καὶ ἡ γῆ καὶ τὰ τοιαῦτα πάντα τῶν σωμάτων, καὶ τὰ μέρη τοῦ ὅλου, καὶ αἱ ὑποθέσεις τοῦ συμπεράσματος, ὡς τὸ ἐξ οὗ αἴτιά ἐστιν»[3]).

§ 2. 'Αλλ' ἐν μὲν τοῖς ἀπὸ διανοίας οὐδὲν ἁπλῶς ἐνυπάρχει, οἷον τοῖς ἐν τοῖς συλλογισμοῖς ὑπόκειται μέν τι ἀλλὰ νοητὸν καὶ ἐκτὸς πάσης ὕλης, καὶ λέγεται μὲν τοῦτο ὕλη, διαφέρουσα δὲ τῆς φύσει, ἐν δὲ ταῖς τέχναις αὖ ὑπάρχει· ὥστε οὐ πάντα τὰ ἀπὸ διανοίας ὕλης ἄμοιρα, ἀλλὰ τὰ μὲν ἁπλῶς οὐκ ἔχει ὕλην, οἷον τὰ μέρη τῶν συλλογισμῶν καὶ αἱ ἀποδείξεις καὶ ἀποφάνσεις καὶ ὑποθέσεις καὶ τὰ μαθηματικὰ καὶ τὰ τοιαῦτα, τὰ δ' ἔχει, οἷον τὸ μάρμαρον ἢ ξύλον ἢ χρώματα ἢ τι ἕτερον

1) Ὑποκείμενον λέγομεν οὐ τὸ ὡς ὕλην προκείμενον πρὸς κατασκευὴν τοῦδε ἢ ἐκείνου, ἀλλὰ τὸ πρῶτον, ὃ ὡς βάσις καὶ θεμέλιον καὶ πρώτη ἀρχὴ θεωρητέον, οἷον ἡ τρόπις τοῦ πλοίου καὶ τὸ θεμέλιον τοῦ οἴκου, τὸ τὶ ἦν εἶναι καὶ τὴν πρώτην ἀρχήν, ἢ ἄλλως τὸ τελευταῖον, τὸ οὗ ἕνεκα καὶ τὸ τέλος, ὡς τὸ φυλακτικὸν χρημάτων καὶ σωμάτων· τοῦτο γὰρ ὑπόκειται πρῶτον, ἡ δ' ὕλη, ξύλα καὶ λίθοι ὑποκείμενον, ἀλλ' οὐ τὸ πρῶτον οὐδὲ τούτου ἕνεκα ἐκεῖνο. Ὅρ, Μετ. Δ. στ'. 1016 α. 19 «τὸ δ' ὑποκείμενον ἢ τὸ τελευταῖον πρὸς τὸ τέλος», ἐν δὲ τῷ η'. 1017 β. 23 τὸ ὑποκείμενον σημαίνει τὸ τόδε τι, οὐ μέντοι ἐκτὸς πάσης ὕλης, ἀλλὰ τρόπον τινὰ τὸ σύνολον, ὃ καὶ ἔσχατον καλεῖται, καὶ τούτῳ τοῦ εἴδους καὶ τῆς μορφῆς διαγιγνώσκεται. Αὕτη δὲ διαφορὰ τοῦ ἐσχάτου καὶ τελευταίου, ὅτι τὸ μὲν ἔσχατον μόνον ἐπὶ τῆς ὕλης καὶ τοῦ συνειλημμένου λέγεται, τὸ δὲ τελευταῖον ἐπὶ τοῦ τέλους καὶ τοῦ οὗ ἕνεκα. Παράδοξον δὲ πῶς ὁ Βόνιτσ καὶ Βάϊτσ οὐδὲν ἀκριβὲς περὶ τούτου γεγράφασιν.

2) Φυσ. Α'. θ'. 192 α. 3. Μετ. Α. η'. 988 β. 34 «τῇ μὲν γὰρ ἂν δόξειε στοιχειωδέστατον εἶναι πάντων ἐξ οὗ γίγνονται συγκρίσει πρώτου, τοιοῦτο δὲ τὸ λεπτομερέστατον καὶ λεπτότατον ἂν εἴη τῶν σωμάτων» τοιοῦτον δὲ τὸ πρῶτον καὶ ἄποιον καὶ τρόπον τινὰ οὐκ ὄν. καὶ 192 α. 31 «λέγω γὰρ τὸ πρῶτον ὑποκείμενον ἑκάστου ἐξ οὗ γίνεταί τι ἐνυπάρχοντος οὐ κατὰ συμβεβηκός· εἴτε φθείρεται εἰς τοῦτο ἀφίξεται ἔσχατον» Μετ. Η. β'. 1042 α. 27 «ὕλην δὲ λέγω ἣ μὴ τόδε τι οὖσα ἐνεργείᾳ, δύναμει ἐστὶ τόδε τι» π. ψυχ. Β'. α'. § 2.

3) Μετ. Δ. β'. 1013 β. 17 κ. ε. καὶ α. 15· ταὐτὰ ἐν Φυσ. Β'. γ'. 196 α. 16.

οἷς ὁ τεχνίτης χρῆται[4]). Ὅθεν συμβαίνει ἐν τοῖς κατὰ διάνοιαν διττὴν εἶναι τὴν ὕλην, τὴν μὲν νῷ μόνον ληπτήν, τὴν δὲ καὶ αἰσθήσει, ἄμφω δὲ τῇ διανοίᾳ ὑποκείμενα. Λείπεται νῦν τὴν τῶν φυσικῶν ὕλην εἰδέναι· καὶ γὰρ καὶ ταύτην ὑπάρχειν χρή, ἀλλ' ὑπάρχειν αἰσθήσει ληπτὴν ἢ οὔ; καὶ εἰ αἰσθήσει, ὥσπερ ἐν τοῖς ἀπὸ τέχνης ἢ ἄλλως;

§ 3. Καὶ τὴν φυσικὴν δ' ὕλην διττὴν ὁ Ἀριστοτέλης τίθησιν, τὴν μὲν οὐ φαινομένην μὲν ἀλλ' ὑπάρχουσαν καὶ οὔτ' αἰσθήσει οὔτε νοήσει τελέως ληπτην, τί, ὅ «οὐκ ἔστιν ἓν τούτων (τῶν τεσσάρων στοιχείων) ἐξοῦ τὰ πάντα· οὐ μὴν οὐδ' ἄλλο τι παρὰ ταῦτα, οἷον μέσον τι ἀέρος καὶ ὕδατος, ἢ ἀέρος καὶ πυρός, ἀέρος μὲν παχύτερον καὶ πυρός, τῶν δὲ λεπτότερον[5])», τὴν δ' αὖ ἑκατέρᾳ ληπτήν. Καὶ τὴν μὲν ἀόρατον καθὸ ἄμοιρον εἴδους, καὶ ἄποιον καὶ ἄμορφον, ὡς ἐκ πολλῶν ἐστιν εἰκάσαι, τὴν δ' ἔχουσάν τι εἶδος καὶ τὰς ἄλλας κατηγορίας. Ἐκείνη δ' αὖ ἄγνωστος καθ' αὐτὴν καὶ ἀόριστόν τι· ἀναίσθητον γὰρ καὶ ἀφανές, τοῦτο δ' ἐστὶ τὸ πρῶτον στοιχεῖον καὶ ὑποκείμενον πάντων, ὁ αἰθὴρ (ἐν τοῖς Μετεωρ. Α'. γ'. κεφ.) καλούμενος[6]), αὕτη δ' αἰσθητή καὶ μορφὴν

---

4) «ὕλη δ' ἡ μὲν αἰσθητή ἐστιν, ἡ δὲ νοητή. Αἰσθητὴ μὲν οἷον χαλκὸς καὶ ξύλον καὶ ὅση κινητὴ ὕλη, νοητὴ δὲ ἡ ἐν τοῖς αἰσθητοῖς ὑπάρχουσα μὴ ᾗ αἰσθητά, οἷον τὰ μαθηματικά» Μετ. Ζ. ί. 1036 α. 9 καὶ ια'. 1036 β. 35.

5) π. γεν. κ. φθ. Β'. ε'. 332 α. 19 καὶ 35. «ἡ γὰρ ὕλη τὸ μέσον ἀναίσθητος οὖσα καὶ ἀχώριστος..» Μέσον δ' ἐνταῦθα καλεῖται τὸ ταῖς ἐναντιότησιν ὑποκείμενον· ἀνωτέρω γὰρ τρεῖς ἔθηκε τὰς ἀρχάς· πρώτην ἀρχὴν τὴν ὕλην, εἶτα τὰς ἐναντιότητας καὶ τρίτον τὰ τέσσαρα στοιχεῖα. «ὕλην τὴν ἀχώριστον μέν, ὑποκειμένην δὲ τοῖς ἐναντίοις· οὔτε γὰρ τὸ θερμὸν ὕλη τῷ ψυχρῷ, οὔτε τοῦτο τῷ θερμῷ ἀλλὰ τὸ ὑποκείμενον ἀμφοῖν· ὥστε πρῶτον μὲν τὸ δυνάμει σῶμα αἰσθητὸν ἀρχή, δεύτερον δ' αἱ ἐναντιώσεις, λέγω δ' οἷον θερμότης καὶ ψυχρότης, τρίτον δ' ἤδη πῦρ καὶ ὕδωρ καὶ τὰ τοιαῦτα» αὐτόθι Β'. α'. 329 α. 30 καὶ Φυσ. Β'. β'. 194 β. 7 «ἐν μὲν οὖν τοῖς κατὰ τέχνην ἡμεῖς ποιοῦμεν τὴν ὕλην τοῦ ἔργου ἕνεκα, ἐν δὲ τοῖς φυσικοῖς ὑπάρχει οὖσα.» Μετ. Γ. ε'. 1009 α. 25 «Εἰ οὖν μὴ ἐνδέχεται γενέσθαι τὸ μὴ ὂν πρῦπῆρχεν ὁμοίως τὸ πρᾶγμα ἄμφω ὄν, ὥσπερ Ἀναξαγόρας μεμίχθαι πᾶν ἐν παντί φησι, καὶ Δημόκριτος» ἐξ ὧν δοκεῖ ἀποδεδέχθαι τὰ στοιχεῖα παρ' αὐτοῖς καλούμενα, ἀκριβέστερον δὲ λέγων φησίν, ὅτι δυνάμει .. καὶ Ζ. ζ'. 1032 β. 30 «ὥστε καθάπεd λέγεται ἀδύνατον γενέσθαι εἰ μηδὲν προϋπάρχοι. Ὅτι μὲν οὖν τι μέρος ἐξ ἀνάγκης ὑπάρξει φανερόν· ἡ γὰρ ὕλη μέρος· ἐνυπάρχει γὰρ καὶ γίγνεται αὕτη.» ὅρ. καὶ π. γεν. κ. φθ. Α'. γ'. 317 β. 25 καὶ π. Οὐρ. Γ'. ή. 306 β. 16 «ὥσπερ γὰρ καὶ ἐν τοῖς ἄλλοις ἀειδὲς καὶ ἄμορφον τὸ ὑποκείμενον δεῖ εἶναι· μάλιστα γὰρ ἂν οὕτω δύναιτο ῥυθμίζεσθαι, καθάπερ ἐν τῷ Τιμαίῳ γέγραπται τὸ πανδεχές· οὕτω καὶ τὰ στοιχεῖα δεῖ νομίζειν, ὥσπερ ὕλην εἶναι τοῖς συνθέτοις» καὶ π. γεν. κ. φθ. Β'. α'. 329 α. 10 κ. ε. καὶ Φυσ. Α'. ή. 191 β. 13 «ἡμεῖς δὲ καὶ αὐτοί φαμεν γίγνεσθαι μὲν οὐδὲν ἁπλῶς ἐκ μὴ ὄντος, ὅμως μέντοι γενέσθαι ἐκ μὴ ὄντος . . .»

6) Μετ. Ζ. ια'. 1037 α. 27. Θ. ζ'. 1049 β. 2. «ἡ δ' ὕλη ἄγνωστος καθ' ἑαυτήν» Ζ. ί. 1036 α. 8.

τινα ἔχουσα καὶ ποιόν, οἷον, τὸ φυτὸν ἐξ ὕδατος καὶ γῆς καὶ σπέρματος, καὶ ζῶον ἐκ σπέρματος καὶ αἵματος καὶ εἴτινος ἄλλου οὐχ ὡρισμένου μὲν εἴδους πλὴν πάντων τῇ αἰσθήσει ληπτῶν, καὶ ποιόν τι ἐχόντων[7]). Τέσσαρα οὖν εἴδη συμβαίνει ὑπάρχειν, δύο ἐφ' ἑκατέραν τῶν πρωτίστων ἀρχῶν τέχνης καὶ φύσεως. Τὰ τέσσαρα δ' ὁμοῦ δυνάμει πανταχοῦ ὁμολογοῦνται καὶ οὐκ ἐνεργείᾳ, καὶ ὡς στοιχεῖα πρὸς παραγωγὴν παντός νοητοῦ τε καὶ αἰσθητοῦ, καὶ ὕστερα, δοκοῦντα δὲ πρότερα, καὶ αἴτια, ἀλλ' οὐ τὰ πρῶτα. Ἐπὶ δ' εἰς τοῦτο ἥκομεν, καιρὸς εἰπεῖν τινα καὶ περὶ δυνάμεως.

Κεφ. στ'.

Τὸ δυνάμει.

§ 1. Τὸ δυνάμει παρὰ τῷ Ἀριστοτέλει λέγεται ἐπὶ πάντων ἐφ' ὧν καὶ ἡ ὕλη, τῷ δ' ἀκριβολογουμένῳ ἐπὶ πλεῖον εὑρεθήσεται ὅτι εἴρηται· οὐ γὰρ ἐν πᾶσιν ὕλη ἐν οἷς καὶ δύναμις, οὐδὲ τὸν αὐτὸν τρόπον· τοῦτο δὲ δῆλον διορισθέντος πρῶτον τί ἐστι τὸ δυνάμει. Ἔστιν οὖν δύναμις τὸ δυνατὸν εἶναι καὶ μὴ εἶναι καὶ ἐπὶ ἕξεως καὶ ἐπὶ στερήσεως· ἀμφότερα γὰρ δυνατὸν εἶναι καὶ μή. Εἰ δὲ τοῦτο οὕτως ἔχει, ἐπὶ πλεῖον ἡ δύναμις καὶ πρότερον δοκεῖ τῆς ὕλης· ἡ γὰρ ὕλη μόνον ἐπὶ ἕξεως καὶ ὑστέρα, οἷον συλλογισμόν τινα δυνατὸν γενέσθαι ἐκ τῶνδε τῶν ἀποφάνσεων ἢ μή, καὶ ἐνταῦθα δυνάμει πλὴν πρὸς τὸ γενησόμενον καὶ οὐ τὸ γεγενημένον· ἀνάγκη γὰρ τὸ γεγενημένον ὑπάρχειν· καὶ τοῦτο ὕλη, καὶ δοκεῖ μὲν πρότερον, οὐκ ἔστι δέ· δυνατὸν γὰρ τὰς ἀποφάνσεις καὶ εἶναι καὶ μὴ καθ' ὃ ὕλην οὔσας πρὸς τὸ γενησόμενον, καὶ δοκεῖ ταὐτὸν εἶναι δύναμις καὶ ὕλη. Ἀλλὰ πρὸ τούτου δυνατὸν εἶναι ἀπόφασιν καὶ κατάφασιν ὁμοῦ καὶ καθ' ἕκαστον καὶ μὴ εἶναι, ἐφ' ἑκατέρου δὲ τὸ δυνάμει λεχθήσεται, οὐ μέντοι καὶ ἡ ὕλη· οὐδεπώποτε γὰρ ἡ στέρησις ὕλη κληθήσεται, ἕξις δὲ πᾶσα. Καὶ ταῦτα μὲν ἁπλῶς, ἄλλως δ' ἔσται δυνάμει μὲν ἀμφότερα τό τε εἶδος καὶ ἡ ὕλη, οἷον, δυνάμει μὲν οἶκος οἱ λίθοι

---

7) Εὐλόγως ἄν τις ἐνταῦθα τῷ Ἀριστοτέλει ἐπιτιμήσειε, μάλιστα δ' ἡμῖν οὐσίαν ἐξ οὐσίας ποιοῦσιν, αὐτοῦ τοῦ Ἀριστ. διαρρήδην τοῦτο ἀρνουμένου (ὅρ. κεφ. β'. σημ. 19), καὶ δικαία δόξει ἡ ἐπιτίμησις, ἀλλ' ἐν μέρει· ἐπεί ἐν μὲν τοῖς φύσει γιγνομένοις πάντ' ἂν ἐκληφθείη ὡς στοιχεῖα καὶ ἄμορφα, καὶ ἔστιν, οἷον ἥ τε πρώτη καὶ ἄποιος ὕλη, καὶ ὕδωρ, καὶ αἷμα, ἢ χυμοί, ἢ γῆ, τὰ τοιαῦτα δ' οὐσία πως, ἀλλά δυνάμει καὶ τοῖς ἐναντίοις ὑποκείμενα. Ἀλλά πρὸς τά τέχνῃ γινόμενα τί ἕξομεν ἀποκρίνασθαι τῷ ἰσχυριζομένῳ ὅτι πάντα ἐξ οὐσιῶν γίγνεται, οἷον ἀνδριὰς ἐξ ἐντελεχείᾳ ὄντος τοῦδε τοῦ μετάλλου ἢ μαρμάρου, καὶ σκεῦος τόδε ἐκ ξύλου τοῦδε σωμάτων πάντων ὄντων; ὅτι οὐσίας μάλιστα ὁ Ἀριστοτέλης τὰ φυσικά σώματα καλεῖ, ἐν ἑαυτοῖς ἔχοντα ἀρχὴν κινήσεως, τὰ δ' ἀπὸ τέχνης ἐν ἄλλῳ καὶ διάφορος πάντῃ ἡ ἀρχή. Ἅλις ταῦτα· μακρὰ γὰρ ἡ ζήτησις καὶ οὐ τοῦ παρόντος καιροῦ (π. ψυχ. Β'. α'. § 3.)

καὶ ξύλα καὶ εἴτι ἕτερον ἀτάκτως ἐρριμένα, δυνάμει δὲ καὶ τὸ οἰκοδομικὸν οἶκος, ἀλλ' ἑτέρως. Καὶ ὗλαι μὲν ἄμφω, ἀλλ' ἡ μὲν νοητὴ καὶ εἰδοποιός, ἡ δὲ στοιχειώδης καὶ ἄμορφος, ἡ μὲν ποιητική, ἡ δὲ παθητική· ἡ μὲν ἐξ οὗ ἡ κίνησις καὶ τὸ πρῶτον κινοῦν, ἡ δὲ τὸ δεχόμενον καὶ ἐξ ὧν ὑποκειμένων γενήσεται· καὶ ἄμφω μὲν ὑποκείμενα ὄντα ταὐτόν ἐστι τὸ δυνάμει καὶ ἡ ὕλη πρὸς τὸ γενησόμενον, ἁπλῶς δὲ δυνάμει καὶ ἑκάτερον· δυνατὸν γὰρ εἶναι καὶ μή. Ταῦτα δὲ δόξειεν μὲν ἂν τινι ξένα τῆς τοῦ Ἀριστοτέλους φιλοσοφίας, καὶ κενὰ ἀκαίρως προθυμουμένης διανοίας ἀποκυήματα, οὐχὶ δὲ καὶ παντὶ τῷ τὸν Ἀριστοτέλη συνιέντι· αὐτὸς γὰρ ὁ Ἀριστοτέλης διττὴν τὴν δύναμιν καλεῖ· «ἀρχὴν μεταβολῆς ἐν ἑτέρῳ, ἢ ᾗ ἕτερον, τὴν δ' ὑφ' ἑτέρου ἢ ᾗ ἕτερον»[1]. Ἐν ἑτέρῳ μὲν οὖν οἷον τοῖς ξύλοις λίθοις καὶ τοῖς τοιούτοις, ὑφ' ἑτέρου δέ, τῆς οἰκοδομικῆς ἢ τοῦ οἰκοδόμου, καθ' αὑτὰ δ' ἕτερ' ἀμφότερα, ᾗ γὰρ ξύλα καὶ λίθοι ἕτερα, ᾗ δ' αὖ οἰκοδομικὴ ἕτερον, καὶ ἄμφω μὲν ὕλη, ἀλλ' ἡ μὲν νοητή, ἡ δ' αἰσθητή, δύναμις δ' οὐχ ἑτέρα ἐν ἑκατέρᾳ, ἀλλ' ἡ αὐτή· πρὸς γὰρ τὸ εἶναι ἢ μὴ ἡ δύναμις, οὐχὶ δὲ πρὸς τὸ ἔχειν οὕτως ἢ ἄλλως καὶ μή. Καὶ ἡ μὲν ὕλη ἐν τούτοις, ἡ δὲ δύναμις καὶ ταῦτα ἀμφισβητεῖ εἰ ἔστιν ἢ μή, οὐ μόνον δὲ ταῦτα ἐν ἕξει, ἀλλὰ καὶ κατὰ στέρησιν· οὐ γὰρ μόνον τὸ νοητὸν καὶ ἔχον δυνατὸν εἶναι καὶ μή, ἀλλὰ καὶ τὸ μὴ νοητόν· ὡσαύτως οὐ μόνον τὸ αἰσθητὸν ὡς ὕλη δυνατὸν εἶναι καὶ μή, ἀλλὰ καὶ τὸ μὴ ὄν, καὶ τοῦτον τὸν τρόπον ἡ δύναμις ἐπὶ πλεῖον τῆς ὕλης λέγεται, καὶ τοῦτο δῆλον ἐκ τῶνδε· «νῦν δ' ἔχει τινὰ στέρησιν καὶ αἰτίαν καὶ ἀρχὴν τοῦ τοιούτου πάθους· ὁτὲ μὲν δὴ τῷ ἔχειν τι δοκεῖ, ὁτὲ δὲ τῷ ἐστερῆσθαι τοιοῦτον εἶναι»[2]. τοιαύτης δὲ οὔσης τῆς δυνάμεως ἀνάγκη πᾶσαν ὕλην δυνάμει εἶναι καὶ εὐφυΐαν πρὸς τὸ γενέσθαι τόδε τι καὶ παρασκευήν[3], καὶ δεκτικὴν παντὸς εἴδους, καθὸ ἄμορφον καθ' ἑαυτήν οὖσαν. Εἰ δὲ τὸ δυνάμει τῶν ἐναντίων δεκτικόν, ἀνάγκη καὶ τὴν ὕλην τῶν ἐναντίων δεκτικὴν εἶναι[4] καὶ τοῦτ' ἐστὶν ὡσαύτως ἀόριστον[5].

---

1) Μετ. Δ. ιβ'. 1019 α. 19 ὅρ. καὶ Θ. ί. 1046 α. 10. ιβ. 1046 β. 4. στ'. 1048 α. 25 κ. ε. καὶ ζ'.

2) 1019 β. 4. Μή ταραττέτω δ' ἡμᾶς εἰ ὁ Ἀριστοτέλης τὴν στέρησιν ἕξιν τινὰ καλεῖ· ἐπεὶ ἡ τοιαύτη ἕξις ἄμοιρος πάσης ὕλης, ἕξις, οὐδεμίαν ὡς εἰπεῖν ἕξιν ἔχουσα καὶ δυνατὴ μόνον μὴ εἶναι, οὐχὶ δὲ καὶ εἶναι οὔτε νοητὸν οὔτε αἰσθητόν· ἡ δὲ δυνάμει ἁπλῶς στέρησις, τὸ εἶναι ἢ μὴ αὐτῆς τῆς στερήσεως ἀπωτάτω τῆς ὕλης εἰ καὶ νοητῆς καὶ ἐξ ἀπωτέρων ἀρχῶν· πλὴν λεπτολογία τὰ τοιαῦτα.

3) Θεμίστιος παρὰ τῷ Τρενδελ. π. ψυχ. σελ. 322—23.

4) Μετ. Γ. ε'. 1009 α. 34. «δυνάμει μὲν γὰρ ἐνδέχεται ἅμα ταὐτὸ εἶναι τὰ ἐναντία.» καὶ Ζ. ζ'. 1032 α. 20. «ἅπαντα δὲ τὰ γιγνόμενα ἢ φύσει ἢ τέχνῃ ἔχει ὕλην· δυνατὸν γὰρ καὶ εἶναι καὶ μὴ εἶναι ἕκαστον αὐτῶν τοῦτο δ' ἐν ἑκάστῳ ἡ ὕλη.» καὶ ί. 1035 α. 8. καὶ Η. β'. 1042 β. 9.

5) Μετ. Ζ. γ'. 1029 α. 20 «λέγω δὲ ὕλην, ἣ καθ' ἑαυτὴν μήτε τι, μήτε ποσόν, μήτε ἄλλο μηθὲν λέγεται οἷς ὥρισται τὸ ὄν» καὶ Γ. δ'. 1007 β. 28 «τὸ γὰρ δυνάμει ὂν καὶ μὴ ἐντελεχείᾳ τὸ ἀόριστόν ἐστιν.»

§. 2. Οὕτως οὖν ἡ δύναμις ἐπὶ πάντων, τῶν τε φύσει καὶ διανοίᾳ ὑπόκειται ἐνδεχομένη καὶ εἶναι καὶ μὴ εἶναι, καὶ ἔχουσά τινα διάθεσιν πρὸς τὸ πάντα γίγνεσθαι. Ἀλλ' ἐπεὶ δύο τίθενται ἀρχαὶ παντὸς ὄντος, διοριστέον πῶς ἐν ἑκατέρᾳ τὸ δυνάμει λέγεται, λέγομεν δὲ φύσει καὶ τέχνῃ[6]. Καὶ ὡμολόγηται μὲν ὅτι ἀνάγκη ὑπάρχειν τὴν ὕλην ἐφ' ἑκατέρων φύσεως καὶ τέχνης, ἀλλ' οὐχ ὁμοίως· ἐν γὰρ τῇ φύσει ἔσται ὕλη ἡ πρώτη τὸ λεπτομερέστατον καὶ ἀόρατον, ὅ ἔσται δυνάμει ὕδωρ, γῆ, ποιά τινα καὶ τρόπον τινὰ ἄμορφα· ταῦτα δ' αἰσθητὰ τῇ συγκρισει γιγνόμενα καὶ ἐνεργείᾳ ὄντα, δυνάμει αὖ εἶσι τόδε τι τὸ φυτὸν ἢ ζῶον, ὃ οὐκ ἂν τις ἀστόχως δευτέραν δυνάμει ὕλην καλέσειεν[7]. Καὶ ταῦτα μὲν ἐν τοῖς φύσει γινομένοις ὁρατὰ καὶ ἀόρατα, ἀλλ' ἀμφότερα ἄμορφα καὶ οὐ τόδε τι ἀλλὰ δυνάμει[8].

§. 3. Ἐν δὲ τῇ τέχνῃ δυνάμει μὲν ἡ ὕλη πᾶσα, ἀλλ' αἰσθητή, καὶ οὐ τόδε τι τὸ τεχνητόν· καὶ μορφὴν μέν τινα ἔχει πάντα, τὴν δ' ἀρχὴν ἐν τῇ φύσει· καὶ ἐντελεχείᾳ ἐστὶ πάντα καὶ οὐσίαι, ἀλλὰ πάντα δυνάμει πρὸς τὴν τέχνην. Ὥστε συμβαίνει πρός τι εἶναι δυνάμει, καθ' αὑτὰ δὲ ἐνεργείᾳ· ἄτοπον γὰρ τὸ φάναι τὸ φυτὸν τοῦτο ἢ τοὺς λίθους τούτους, ἢ μέταλλον ἤ τι ἕτερον μὴ εἶναι οὐσίας καὶ ἐνεργείᾳ τόδε τι, ἀλλὰ πρὸς τὴν τέχνην οὔπω ἐστὶ τόδε τι τὸ τεχνητόν, δυνάμει δὲ καὶ ἐνδεχόμενον καὶ εἶναι καὶ μὴ εἶναι. Πρὸς τὸ γενησόμενον ἄρα ἔσται δυνάμει οὐ μέντοι πρὸς τὸ γεγενημένον· τοῦτο γὰρ ἐνεργείᾳ τόδε τι, καὶ δοκεῖ τρόπον τινὰ οὐσία ἐξ οὐσίας γίγνεσθαι, ὅπερ ἄτοπον, διὸ καὶ ὁ Ἀριστ. οὐσίας μάλιστα τὰ φυσικά καλεῖ σώματα[9]. Τούτων δ' οὕτως ἐχόντων, ῥᾷόν ἐστι καταμαθεῖν πῶς ἂν οὐσία τις ὕλη λέγοιτο, ὅτι πρὸς τὸ γενησόμενον οὐχὶ δὲ καὶ τὸ γεγενημένον. Καὶ ἐν μὲν τοῖς φύσει γιγνομένοις

---

6) Περὶ τῶν ἁπλῶς νοητῶν οὐδένα ποιοῦμεν λόγον· ἐκτὸς γὰρ πάσης ὕλης· εἰ δ' ἔχει πως καὶ ὕλην καὶ ποίαν ἄλλη ζήτησις.

7) Ὅτι ὁ Ἀριστ. πρῶτον στοιχεῖον τὸ πῦρ τίθησι δῆλον ἐκ τοῦ Μετ. Α. ή. 989 α. 2. πῶς δ' ἂν ταῦτα τοῖς ἀνωτέρω συναρμόσειεν, ἐντεῦθέν ἐστι καταμαθεῖν· ἐκεῖ μὲν γὰρ τὸ ὑποκείμενον ταῖς ἐναντιότησι καλεῖ ὕλην τὴν πρώτην, τρίτον δὲ τὸ πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα (ὅρ. κεφ. γ'.), ἐνταῦθα δ' ἀκριβέστερον τῶν στοιχείων τούτων τὸ πρότερον ζητῶν, πρῶτον τὸ πῦρ τίθησιν. Ἄπορον δ' ἅμα ὅπου τὸν ἀέρα ταχθῆναι δεῖ· οὔτε γὰρ ἐν τῇ πρώτῃ ὕλῃ ὡς εἰκός, ἀλλ' οὐ δ' ἐν τῇ δευτέρᾳ· ἀόρατος γάρ. Επίσχωμεν οὖν, καὶ γὰρ καὶ τῷ Ἀριστοτέλει οὐ πάμπαν ἐναργῶς πεπραγμάτευται.

8) Μή τις δ' ἡμᾶς ἐκλάβοι νοοῦντας ὡς ταῦτα μόνα ἀρχὰς τῶν φυσικῶν ὄντων ὁ Ἀριστ. τίθησιν, ἀλλὰ ταῦτά τε καὶ τὰ ἐκ τούτων, οἷον χυμοὺς διαφόρους, πρὸς δὲ τὸν Ἥλιον καὶ τροπάς τῶν ὡρῶν, καὶ κίνησιν, περὶ ὧν κατωτέρω διορισόμεθα.

9) «Ἡ γὰρ τέχνη ἀρχὴ καὶ εἶδος τοῦ γιγνομένου, ἀλλ' ἐν ἑτέρῳ, ἡ δὲ τῆς φύσεως κίνησις ἐν αὐτῷ ἀφ' ἑτέρας οὖσα φύσεως τῆς ἐχούσης τὸ εἶδος ἐνεργείᾳ» π. ζω. μορ. Β'. α'. 735 α. 2. σημειωτέον δ' ὅτι δύναμις καὶ δυνάμει τὸ ποιητικὸν καὶ παθητικὸν ἂν εἴη. δύναμις πρὸς τὸ ποιεῖν, δυνάμει δὲ πρὸς τὸ γίγνεσθαί τι· ταὐτὰ ἐν μὲν τῇ γερμανίδι τοῖς Vermögen καὶ Möglichkeit ἐν δὲ τῇ λατινίδι λέξει τοῖς Potentia καὶ Possibilitas ἐκφράζεται.

οὗτοι τοῦτο δῆλον· ἐνθάδε γὰρ μόνον τὰ σώματα οὐσίαι μάλιστα καλοῦνται, σώματα δὲ ἀρχὴν κινήσεως ἔχοντα καὶ τέλος καὶ εἶδος καὶ κυρίως καὶ πρώτως, τὰ δ' ἄλλα αἰσθητὰ ἢ μή, οἷον τὸ λεπτομερέστατον ἀόρατον, καὶ ἡ ἄμορφος μάζα γῆς τε καὶ ὕδατος, οὐκ οὐσίαι ἀλλ' ὕλη ἄποια γὰρ καὶ ἄμορφα, καὶ οὐ τόδε τι ὡρισμένον, ἀλλὰ δυνάμει ἐστὶ πάντα· εἰ δὲ τοῦτο, οὐδὲν ἂν εἰκότως τούτων οὐσία καλοῖτο, εἴπερ ἡ οὐσία τόδε τι ὡρισμένον καὶ εἶδος· καὶ τοῦτο δείκνυσι τὰ χωρία ἐν οἷς ἡ ὕλη τῷ εἴδει ἀντιτίθεται[10]· ἐν δὲ τοῖς τεχνητοῖς ὡς ἐπὶ τὸ πολὺ οὐσίαι ἐξ ὧν ὑποκειμένων ἐγένετο, οἷον χαλκὸς καὶ ξύλον καὶ τὰ τοιαῦτα· λέγομεν δ' ὡς ἐπὶ τὸ πολύ, ἐπεὶ κἀνταῦθα ὑποκείμενά τινα ἄμορφα, οἷον πηλὸς καὶ χρώματα καὶ εἴ τι ἕτερον[11]).

Καὶ ταῦτα μὲν περὶ δυνάμεως, ἐχόμενον δ' ἔσται καὶ περὶ ἐνεργείας τινὰ εἰπεῖν προοδοποιοῦντας ὡς οἷόν τε καλῶς πρὸς τὴν περαιτέρω ζήτησιν. Εἰ δὲ καὶ ἄλλως ἡ δύναμις λέγεται, καὶ τὸ εἶδος, καὶ εἰ τὸ μὲν καὶ φύσις ἢ διάθεσίς τις καλεῖται, τὸ δὲ ταὐτά τε καὶ ἰδέα, περὶ τὰ τοιαῦτα διατρίψαι καὶ μακροὺς πονεῖν πόνους εἰκῇ, ἐπαχθὲς καὶ δύσφορον ἡμῖν ἔδοξε· διὸ ἀπεσχόμεθα· εὐτελὲς γὰρ καὶ οὐδενὸς λόγου ἄξιον τὸ ἀπὸ τούτου ὄφελος[12]).

---

10) Ὅρ. κεφ. β'. »Ὅτι γίγνεται πᾶν ἔκ τε τοῦ ὑποκειμένου καὶ τῆς μορφῆς». Φυσ. Α'. ζ'. 190 β. 19. π. ψυχ. Β'. α', 412 α. 8. Φυσ. Β'. α'. 193 α. 28 π. ζω. γεν. Α'. κβ'. 730 β. 12 π. ψυχ. Α'. α'. 403 β. 1 κ. ε. Β'. β'. 414 α. 8. ἔνθα ἡ ὕλη ἄμορφον καὶ τοῦ εἴδους δεκτικὸν καλεῖται· περὶ ζω. μορ. Α'. α'. 640 β. 25 πρβλ. Μετ. Ζ. ιζ'. 1041 β. 8. π. ζω. γεν. Β'. α'. 732 α. 3. Φυσ. Γ'. στ'. ἔνθα καὶ τὸ ἄπειρον δυνάμει, τοῦ ἀπείρου δ' οὐκ ἔστιν ἐπιστήμην λαβεῖν· οὐ γὰρ ὡρισμένον τι· ἔτι δὲ Δ'. β'. 209 β. 9 ἐξ ὧν καταφαίνεται ὅτι οὔτε τὸ ἄπειρον οὔτε ἡ ὕλη, οὔτε τόπος ἢ χρόνος οὐδὲν συμβάλλεται εἰς τὸ ἐπίστασθαι, ἀλλὰ τὸ εἶδος καὶ ἡ ἀρχὴ τῆς κινήσεως καὶ τὸ οὗ ἕνεκα.

11) περὶ δὲ ποιητικῆς, ἣ λόγοις μᾶλλον κέχρηται καὶ ὕλῃ νοητῇ, καὶ ταῖς συγγενέσι ταύτῃ, γραφικῇ καὶ μουσικῇ, ἐν αἷς ὁ τεχνίτης ποιεῖ τὴν ὕλην, ἑτέρα ζήτησις· ταῦτα γὰρ τοῦ ποιητικοῦ ἐστι νοῦ ἐν πράξει, καθάπερ τὸ λόγους ποιεῖν καὶ ἀρχὰς εὑρεῖν, τοῦ ποιητικοῦ νοῦ ἐν θεωρίᾳ.

12) Περὶ δὲ τῶν δυνάμεων μετὰ ἢ ἄνευ λόγου ὅρ. Μετ. Θ. β'. κεφ. ἔνθα καὶ διαφορὰ δοκεῖ τις, οὐκ οὖσα δ' ὄντως· αἱ γὰρ ἄλογοι δυνάμεις οὐ πρὸς τὸ εἶναι ἢ μὴ λέγονται, ἀλλὰ πρὸς τὸ ἐνεργεῖν καὶ τὸ γενησόμενον· καὶ τότε εἰκότως οὐκ ἔσονται τῶν ἐναντίων αἱ αὐταί, καθάπερ αἱ ἐπιστῆμαι· αὗται γὰρ ἕτερόν τι και οὐχ ἁπλῶς τόδε μόνον· ὅρ. καὶ Βόνιτσ μέρ. β'. σελ. 382 ἐκτενέστερον δὲ περὶ τούτων ἐν τῷ ε'. κεφ. ὃ ἐν ἑτέροις καιροῖς ἐπισκεψόμεθα.

Κεφ. ζ'.

Η ἐνέργεια.

Νῦν οὖν πάντα δυνάμει, καὶ οὐχ ὡρισμένως τόδε τι, ἀλλ' ὕλη ἄμορφος, ἀνάγκη δὲ πρὸς τὸ μεταβάλλειν ἐκ τῆς καταστάσεως ταύτης καὶ γενέσθαι τι τόδε ἢ τοιόνδε εἶδος ἔχον, κινεῖσθαι τι καὶ κινεῖν πρῶτον. Ἐπεὶ δὲ δύο ἀρχαὶ καὶ αἰτίαι τῶν ὄντων τέθεινται, δύο καὶ τὰ πρῶτα κινοῦντα ἔσονται, φύσις καὶ τέχνη. Ἐνταῦθα δ' ἡ ἐνέργεια ἡ τῇ δυνάμει ἐναντία καὶ ἀρχὴ τοῦδε ἢ τοῦδε τοῦ ὄντος τοῦ ὡρισμένου κινητική. Δηλονοῦν ὅτι τὴν ἐνέργειαν ἄλλην παρὰ τὴν δύναμιν, καὶ ἄλλῃ ἄλλην ἀνάγκη εἶναι· ἐκεῖναι γὰρ[1]) δυνάμει, τοῦτο δ' ἐστὶν ἡ οὐσία· ταὐτῃ γὰρ τὸ εἶδος. Οὐκ αὐτὴ δ' ἡ οὐσία ἁπλῶς, ἀλλὰ ταὐτῃ ἡ οὐσία παρασκευάζεται, αὐτῆς τῆς οὐσίας οὖσα ἐνέργεια καὶ τῆς ὕλης κατηγορούμενον[2]). Δῆλον οὖν ὅτι ἀντικείμενον τῇ δυνάμει· τοῦτο γὰρ ἄμορφον ἀδρανές, ἐκείνη δὲ εἰδοποιὸς καὶ ταυτὸν τρόπον τινὰ τῷ εἴδει[3]). Εἰ οὖν ἡ ἐνέργεια ἀντικείμενον τῇ δυνάμει, καὶ τῇ ὕλῃ ἀντικείμενον ἔσται· καὶ αὕτη γὰρ δυνάμει[4]). τί οὖν ἐνέργεια ἐστίν;

«Ἔστι δ' ἡ ἐνέργεια τὸ ὑπάρχειν τὸ πρᾶγμα, μὴ οὕτως ὥσπερ λέγομεν δυνάμει (λέγομεν δὲ δυνάμει, οἷον ἐν τῷ ξύλῳ τὸν Ἑρμῆν, καὶ ἐν τῇ ὅλῃ τὴν ἡμίσειαν, ὅτι ἀφαιρεθείη ἄν, καὶ ἐπιστήμονα καὶ τὸν μὴ θεωροῦντα, ἂν δυνατὸς ᾖ θεωρῆσαι), τὸ δ' ἐνεργείᾳ»[5]). Ἀλλὰ τούτοις οὐχ ὥρισται τί ἡ ἐνέργεια καθ' αὑτό, οὐδὲ μὴν δυνατόν· οὐ γὰρ ἕν ὡρισμένον, ἄλλ' ἄλλο ἐν ἄλλῳ καὶ ἄλλοτ' ἄλλως ἔχον, καὶ ὁτὲ μὲν ἐν κινήσει, ὁτὲ δ' ἐν ἠρεμίᾳ, καὶ νῦν μὲν μεθ' ὕλης, νῦν δ' ἄνευ ὕλης· ἄλλοτε δ' ἐν τόπῳ καὶ χρόνῳ, ἔσται δ' ὡς οὐδ' ἐν τούτοις, καὶ τοῦτο μὲν πάθημα ἐν τοῖς ἀντικειμένοις αὐτοῖς γιγνόμενον, ὁτὲ δ' ἔξωθεν ἐπελθόν, ἔστι δὲ καὶ ὡς ἐν αὐτῷ τε τῷ ὄντι, καὶ ἐκτὸς συνδραμεῖν δεῖ πρὸς τὸ εἶναι ἐνεργείᾳ τι· τοῦτο δ' αὖ τὸ γιγνόμενον καὶ ἐνεργείᾳ ὂν ἔσται νῦν μὲν τῆς οὐσίας καθ' αὑτήν, νῦν δὲ πάθημα κατὰ τὰ κατηγογούμενα αὐτῆς ἢ καὶ συμβεβηκότα[6]). Εἰ δὲ ταῦτα οὕτως ἔχει, δίκαιος ὁ

---

1) «Φανερὸν δὴ ὅτι ἡ ἐνέργεια ἄλλη ἄλλης ὕλης καὶ ὁλόγος» Μετ. Η. β'. 1043 α. 12.

2) Αὐτόθι 1043 α. 5.

3) Ὅρ. αὐτόθι καὶ Θ. η'. 1050 β. 2 «ἡ οὐσία καὶ τὸ εἶδος ἐνέργειά ἐστιν.» Λ. ε' 1071 α. 8. Λέγομεν δὲ τρόπον τινὰ ταὐτόν, ἐν γὰρ τοῖς ἀπὸ τέχνης οὐ ταὐτόν, ἔξωθεν δὲ ἡ κίνησις καὶ ἔστι τρόπον τινὰ ταὐτὸν τό τε γινόμενον καὶ ὃ ἦν ἐν τῇ διανοίᾳ τοῦ τεχνίτου συλληφθέν· ὅρ. καὶ Η. β'. 1042 β. 10 Θ. η'. 1050 α. 16 κ. ε. ι'. 1051 β. 30 κ. ε.

4) Μετ. Η. στ'. 1045 α. 33. Μ. α'. 1076 α. 9 κ. ε.

5) Μετ. Θ. στ'. 1048 α. 30.

6) Ὅτι τοῦτο εἰς ἄπειρον ἄγει, καὶ οὐκ ἔστι λαβεῖν ἐπιστήμην καὶ ὁρίσαι τί ἐστι καθ' αὑτὸ ἐνέργεια, δῆλον ἔκ τε τῶν γινομένων καθ' ἕκαστα, μᾶλλον δ' ἐκ τῶν ἐνισταμένων καὶ ἀνασκευάζειν βουλομένων· ἢ καὶ σοφιστεύεσθαι. Εἰ γὰρ εἴποιμεν ὅτι ὑγιεία ἔσται κίνησις, ἐνίσταιτο ἄν τις λέγων, ὅτι ἠρεμία ἐν

Ἀριστοτέλης εἰρηκέναι ὅτι, «οὐ δεῖ παντὸς ὅρον ζητεῖν» ἡ δ' ἐπαγωγή μόνη βοηθὸς καὶ διδάσκαλος πρὸς τὰ τοιαῦτα [7])· πολλὰ γὰρ καὶ ἐνεργείᾳ ὄντα δυνάμει ἐστὶ πρὸς ἕτερα, ἕτερα δ' ἔχοντα μέν, μὴ ἐνεργοῦντα δέ, ὡς τὸ οἰκοδομικὸν πρὸς τὸν οἰκοδομούμενον οἶκον· ἔχει μὲν γὰρ τὸ οἰκοδομικὸν ὁ οἰκοδόμος, ἀλλὰ δυνάμει ὁ οἶκος, ἐν δὲ τῷ οἰκοδομεῖν τότε ἐνεργείᾳ, οὕτω δὲ τὸ ἀπεργαζόμενον πρὸς τὸ ἄμορφον [8]). κατὰ τὸ ἀνάλογον δὲ ἀμφότερα λέγονται· δυνάμει γὰρ τό τε ἐν τῷ οἰκοδόμῳ οἰκοδομικόν, τὰ ξύλα καὶ λίθοι καὶ ἡ ἑτέρα πρὸς οἰκοδομὴν μάζα. Ἀλλ' ἐκεῖ μὲν ὡς εἶδος, ἐνταῦθα δ' ὡς ὕλη ἄμορφος, ἐν δ' αὖ τῷ οἰκοδομεῖν ἀμφότερα ἐνεργείᾳ, ἀλλὰ τὸ μὲν ποιοῦν τὸ δὲ πάσχον. Ἀναλόγως οὖν τὸ ἐνεργείᾳ λέγεται καθ' ὅ γίγνεται τόδε ἢ ἐκεῖνο, τοῦτο δ' ἐστὶν ὅ φησιν ὁ Ἀριστ. «τὰ μὲν γὰρ ὡς κίνησις πρὸς δύναμιν, τὰ δὲ ὡς οὐσία πρός τινα ὕλην» [9])· ἐν μὲν γὰρ τῇ ὕλῃ τῇ δυνάμει οὔσῃ τόδε τι καὶ δεκτικῇ κινήσεως, ἡ ἐνέργεια κίνησίς τις καὶ ἐνεργείᾳ λέγεται ὄν, ἀλλ' ὡς δεχόμενον καὶ πάσχον, ἀναλόγως δὲ λέγεται ἐνεργείᾳ τὸ ἐνεργοῦν καὶ πρῶτον κινοῦν, καὶ ποιοῦν, τρόπον μέν τινα ταυτόν, κυρίως δ' ἕτερον· τὸ μὲν γὰρ ἔξωθεν καὶ πάσχον, τὸ δὲ ὡς οὐσία ποιητική [10]). Ἁπλῶς μὲν οὖν τὴν ἐνέργειαν διορίσαι τί ἐστιν, ἀδύνατον, πρός τι δὲ καὶ κατὰ τὸ ἀνάλογον [11])· τὸ ὑπάρχειν τὸ πρᾶγμα, τοῦτο δὲ τὸ μὴ ὂν ἐν τῷ

τῷδε ἢ ἐκείνῳ τῷ χρόνῳ καὶ καιρῷ· εἰ δὲ νῦν ὕλη προσθετέα πρὸς τὸ γενέσθαι τι, ἄλλοτ' ἀφαιρετέα, ἀμφότερα μὴν ἐνέργεια· εἰ δ' ἐν τόπῳ καὶ χρόνῳ, συμβήσεται ὅτε ὁ μὲν τόπος οὐδὲ τὸ παράπαν εἰς ταῦτα συμβάλλεται, ὁ δὲ χρόνος πάντῃ ἀδιάφορος ἔσται, ὡς ἐπὶ τῶν νοητῶν καὶ ἠθικῶν ἐνεργειῶν. Ἑτέρα δ' ἐνέργεια ἡ ἐν αὐτοῖς τοῖς οὖσι γιγνομένη ἄνευ ἐξωτερικῆς ἐπιδράσεως (εἰ δ' ἦν ποτε τὸ κινῆσαν ἔξωθεν, πόρρω τοῦτο καὶ ἄδηλον), ἑτέρα δ' αὖ ἡ ἐνέργεια ἐπὶ τοῦ μαρμάρου γιγνομένου ἀνδριάντος καὶ ὅλως ἔξωθεν· ἔστι δ' ἐνέργεια γιγνομένη ἐκ συνδρομῆς ἐσωτερικῆς καὶ ἐξωτερικῆς κινήσεως, ὡς ἐπὶ τῶν αἰσθήσεων. Οὕτω δ' ἐπ' ἄπειρον ἄν τις ζητοῖ, οὐδεπώποτε δ' εὑρήσει.

[7]) Μετ. Θ. στ'. 1048 α. 36 ὅρ. καὶ Τοπ. Α'. ιδ'. 105 β. 26.

[8]) Τοῦτο δ' ἐστὶν ὅ φησιν ὁ Ἀριστ. ὅτι «θατέρῳ μορίῳ ἔστιν ἡ ἐνέργεια ἀφωρισμένη» (ἐν τῷ οἰκοδομοῦντι ἢ ἀπεργαζομένῳ), «θατέρῳ δὲ τὸ δυνατόν» (τῷ οἰκοδομηθέντι ἢ ἀπειργασμένῳ). Μετ. Θ. στ'. 1048 β. 4.

[9]) Αὐτόθι 1048 β. 8.

[10]) Οὐ πάνυ τοι ἐμμελῶς συντεθειμένα ἐστὶ τῷ Βόνιτσ τὰ τοιάδε· φησὶ γάρ. In exemplis afferendis si voluerimus acquiescere, apparet τὴν οἰκοδόμησιν πρὸς τὸ οἰκοδομικόν referri ὡς κίνησιν πρὸς δύναμιν, contra aedificium ad rudem materiam, hominem ad menstrua referri ὡς οὐσίαν πρός τινα ὕλην» (Μετ. μέρ. β'. σελ. 393). Ἀλλ' ἡ οἰκοδόμησις πρός τε τὸ οἰκοδομικὸν καὶ τὴν ὕλην ἀναφέρεται. καὶ ἐν ἀμφοτέροις ἐστί, τοῦτο δὲ δῆλον· ἀλλὰ πῶς τὸ γιγνόμενον ἐννοητέον; ἡ οἰκοδόμησις πρὸς μὲν τὴν ὕλην ὡς κίνησις ἔξωθεν καὶ ποιητικὴ ἐν αὐτῇ τῇ ὕλῃ, οὐ μὴν αὐτῆς· πρὸς δὲ τὸ οἰκοδομικὸν ὡς οὐσία καὶ ἐκ ταύτης ἐν ἄλλῳ· ἐν ἐκείνῃ μὲν ἐπακτόν τι, ἐν ταύτῃ δ' οὐσιῶδες, ἀναλόγως ἐν ἑκατέρᾳ λεγομένη ἡ ἐνέργεια, κυρίως δὲ τῆς οὐσίας.

[11]) Περὶ τοῦ ἀναλόγου ὅρ. Μετ. Δ. στ'. 1016 β. 34 Φυσ. Α'. ζ'. 191 α. 8. Ηθ. Νικ. Δ'. στ'. 1131 α. 29. καὶ ἀλλ.

γίγνεσθαι, ἐπιούσης κινήσεως καὶ μεταβάλλον ἐκ δυνάμεως εἰς κίνησίν τινα, ἢ ἐν ἄλλῳ ἢ ᾗ ἄλλο.

Δῆλον οὖν ὅτι τὴν ἐνέργειαν δεῖ ζητεῖν ἐν τοῖς γιγνομένοις καὶ οὖσι τὸ πρᾶγμα, οὐχ ὡρισμένην δὲ οὔτε δυνατὸν ὁρισθῆναι, καὶ διττὴν μὲν φαινομένην, μίαν δ' οὖσαν ἐν τῷ γίγνεσθαί τι ἐκ δύο δυνάμει ὄντων τόδε τι, ἀλλ' ἐχόντων τοῦ μὲν ποιητικῶς τοῦ δὲ παθητικῶς, καὶ κίνησιν οὖσαν καὶ τὴν ἀρχὴν ἐν τῷ εἴδει ἔχουσαν [12]). Εἰ δὲ κίνησις ἡ ἐνέργεια διοριστέον ποία τις αὕτη ἐν αὐτοῖς τοῖς πράγμασι. Τὰ πράγματα πράξει τινὶ γίγνεται, ἡ δὲ πρᾶξις κίνησίς τις· ἀλλ' ἡ πρᾶξις οὐ τὸ πρᾶγμα αὐτό, πρὸς δὲ τὸ πρᾶγμα, οὐ δ' ἄρ' ἡ κίνησις. Καὶ ἔστι μὲν ἡ κίνησις, ἀλλὰ πᾶσα κίνησις πρός τι τέλος, καὶ ἡ πρᾶξις δ' ἡ ἐκ τῆς κινήσεως πρὸς τὸ τέλος τοῦτο, οὐκ αὐτὸ δὲ τὸ τέλος καὶ τὸ τετελεσμένον πρᾶγμα, πρᾶξις μὲν δή, ἀλλ' οὐ τελεία. Ἀλλὰ καὶ τελεία πρᾶξις καὶ ἀτελὴς πᾶσα ἐνέργεῖ, πῶς οὖν ἡ ἐνέργεια ἡ διττὴ αὕτη ἐκληπτέα; ἐνέργεια γὰρ καὶ ἡ τῆς ἀτελοῦς πράξεως, ἀλλὰ πρὸς τὸ πρᾶγμα· ἐνέργεια δ' αὖ καὶ ἡ τοῦ πράγματος, ἀλλ' αὕτη τὸ τέλος αὐτό· καὶ αὕτη ἡ διαφορὰ τῆς ἀτελοῦς πράξεως καὶ ἐντελοῦς, ὅτι ἡ μὲν πρὸς τὸ γίγνεσθαι τὸ πρᾶγμα, ἡ δὲ τὸ πρᾶγμα αὐτὸ ἐνεργείᾳ τέλειον, καὶ ἐκείνην μὲν κίνησιν, ταύτην δ' ἐνέργειαν εὐστόχως ὁ Ἀριστ. καλεῖ· ἐνέργεια γὰρ αὕτη ὄντως καὶ κυρίως ἂν λεχθείη, ἐνεργεῖ γὰρ τελέως καὶ ἄλλως παρὰ τὴν πρώτην κίνησιν. Ὅτι δὲ ταῦτα, ὡς διώρισται, καλῶς ἔχει, οὐκ ἄν τις ἀμφισβητήσειεν· ἐν μὲν γὰρ τῇ φύσει κίνησιν χρή τινα εἶναι, αὕτη δ' οὐ τὸ πρᾶγμα ἀλλὰ πρὸς τὸ ζῶον ἢ τὸ φυτόν, καθ' ἑαυτὴν δ' ἀτελὴς καὶ ἀόριστος καὶ ἄγνωστος [13]), ἐπὶ δὲ τῶν ἀπὸ τέχνης μᾶλλον καταφανὲς

---

[12]) Ἰστέον ὅτι ὁ Ἀριστ. τῷ, ἐνέργειαν καὶ ἐνεργείᾳ εἶναι χρῆται μόνον ἐν τοῖς ἔχουσιν ἐν ἑαυτοῖς ἢ ἐκτὸς ἑαυτῶν κίνησιν, καὶ ἐπὶ τῶν αἰσθητῶν ὡς ἐπὶ τὸ πολύ, εἴτε τέχνῃ εἴτε φύσει τῶν δυναμένων χωρίζεσθαι· εἰ δ' ἐπὶ τῶν νοητῶν ἁπλῶς ταῦτα ἐξηκρίβωται ὀψόμεθα. Σημειωτέον δ' ὅτι ἀδικεῖ ὁ Βόνιτσ διαφωνοῦσαν ἑαυτῇ τὴν Ἀριστ. διδασκαλίαν εἰρηκώς· ἐνταῦθα γὰρ ἐνέργειαν καλεῖ τὴν δυναμένην ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ μεταβάλλειν καὶ ἀρχὴν ἔχουσαν κινήσεως (ὅρ. καὶ Θ. γ'. 1047 α. 24), καὶ διακρίνει πῶς τὸ ἄπειρον ἄλλως τῶν ἐχόντων κίνησιν λέγεται δυνάμει καὶ ἐνεργείᾳ, εἰκότως· εἰ γὰρ τὸ ἄπειρον καὶ δυνάμει καὶ ἐνεργείᾳ ἔσται, πῶς καὶ κατὰ ταὐτὰ τοῖς ἔχουσι κίνησιν λεχθήσεται; καὶ εἰ τὸ μὲν ἄπειρον ἄγνωστον καὶ ἀόριστον καὶ κατὰ στέρησιν, πάντα δὲ ταῦτα ὄντα, ἀλλ' οὐκ ἐν χρόνῳ καὶ πεπερασμένα καὶ ἀχώριστα καὶ ἀκίνητα, ὄντα δὲ ἄλλως, πῶς οὐκ ἄλλως τούτοις καὶ τὸ δυνάμει καὶ ἐνεργείᾳ ῥηθήσεται καὶ ἔσται; Εἴ τις τοῖς ἐν Φυσ. Γ'. κεφ. δ'. — τοῦ η'. προσέχοι τὸν νοῦν, δικαιώσειεν ἂν τὸν Ἀριστοτέλη τὸν διερευνήσαντα καὶ δείξαντα τὸ ἄπειρον ποσαχῶς λέγεται, καὶ οὐδέν ἐστιν, εἰ δ' ἔστιν ενεργείᾳ ἀλλ' ὡς οὐκ ὄν, καί, ἵνα νεωτερίζοντες εἴπωμεν ἀρνητικόν τι, καὶ τῇ διανοίᾳ μόνον ληπτὸν ἀλλ' οὐ καταληπτόν. Ἀλλὰ ταῦτα μακροτέρας ζητήσεως καὶ οὐ τοῦ παρόντος καιροῦ, ὀλίγα δὲ πρὸς τὸν σοφὸν Βόνιτσ (Μετ. μέρ. β'. σελ. 395 ἐν τῇ ὑποσ.)

[13]) Φυσ. Γ'. β'. 201 β. 27 «Τοῦ δὲ δοκεῖν ἀόριστον εἶναι τὴν κίνησιν, αἴτιον ὅτι οὔτε εἰς δύναμιν τῶν ὄντων, οὔτε εἰς ἐνέργειάν ἐστι θεῖναι αὐτὴν ἁπλῶς· οὔτε γὰρ τὸ δυνατὸν ποσὸν εἶναι κινεῖται ἐξ ἀνάγκης, οὔτε τὸ ἐνεργείᾳ

τοῦτο· κίνησις γὰρ ἡ τοῦ κεραμέως πρὸς τὸ ποιῆσαι τόδε τὸ σκεῦος τῷδε χρήσιμον, ἐνέργεια δὲ τελεία ἡ τοῦ σκεύους χρῆσις. Ἀλλ' αὐτὸν τὸν Ἀριστ. προσαγάγωμεν. «Ἐπεὶ δὲ τῶν πράξεων, ὧν ἔστι πέρας, οὐδεμία τέλος, ἀλλὰ τῶν περὶ τὸ τέλος, οἷον τοῦ ἰσχναίνειν ἰσχνασία αὐτὸ (int. τέλος), αὐτὰ δὲ (int. τὰ πράγματα) ὅταν ἰσχναίνῃ οὕτως ἐν κινήσει, μὴ ὑπάρχοντα ὧν ἕνεκα ἡ κίνησις, οὐκ ἔστι ταῦτα πρᾶξις, ἢ οὐ τελεία γε· οὐ γὰρ τέλος, ἀλλ' ἐκείνη ἐν ᾗ ὑπάρχει τὸ τέλος καὶ πρᾶξις[14]), οἷον ὁρᾷ ἅμα καὶ ἑώρακε[15]), καὶ φρονεῖ καὶ πεφρόνηκε, καὶ νοεῖ καὶ νενόηκεν ἀλλ' οὐ μανϑάνει καὶ μεμάϑηκεν, οὐδὲ ὑγιάζεται καὶ ὑγίασται, εὖ ζῇ καὶ εὖ ἔζηκεν ἅμα, καὶ εὐδαιμονεῖ καὶ εὐδαιμόνηκεν· εἰ δὲ μή, ἔδει ἄν ποτε παύεσϑαι, ὥσπερ ὅταν ἰσχναίνῃ· νῦν δ' οὔ, ἀλλὰ ζῇ καὶ ἔζηκεν· τούτων δὲ δεῖ τὰς μὲν κινήσεις λέγειν, τὰς δ' ἐνεργείας· πᾶσα γὰρ κίνησις ἀτελής· ἰσχνασία, μάϑησις, βάδισις, οἰκοδόμησις. Αὗται δὴ κινήσεις καὶ ἀτελεῖς γε· οὐ γὰρ ἅμα βαδίζει καὶ βεβάδικεν, οὐδ' οἰκοδομεῖ καὶ ᾠκοδόμηκεν, οὐ δὲ γίγνεται καὶ γέγονεν ἢ κινεῖ τε καὶ κεκίνηκεν, ἀλλ' ἕτερον καὶ κινεῖ καὶ κεκίνηκεν· ἑώρακε δὲ καὶ ὁρᾷ ἅμα τὸ αὐτό, καὶ νοεῖ καὶ νενόηκεν· τὴν μὲν οὖν τοιαύτην ἐνέργειαν λέγω, ἐκείνην δὲ κίνησιν»[16]).

Ἱκανὰ οὖν καὶ περὶ ἐνεργείας, ἐν ἑτέρῳ δὲ τόπῳ ἔτι καταφανέστερα γενήσεται ταῦτα· Νῦν δὲ εἴπωμεν καὶ περὶ Φύσεώς τινα ἅμα καὶ κινήσεως· ἅμα γὰρ ἄμφω καὶ πρότερον ἁπλῶς ἡ φύσις. Ζητεῖται δ' ὧδε μόνον ἡ Φύσις ἡ μία κεφαλαιώδης ἀρχὴ τῶν ὄντων· αὕτη γὰρ προτέρα. Περὶ δὲ τῶν ἐκ διανοίας καὶ τέχνης, καὶ ἐξ ἔϑους καὶ ταὐτομάτου ϑεωρεῖν, μακρὰν λίαν παράγοι ἂν ἡμᾶς, καὶ εἰς ἄλλας χώρας ἀπωτέρω τοῦ προτιϑεμένου ἡμῖν αὐτοῖς σκοποῦ κειμένας.

Κεφ. η'.

Ἡ φύσις.

§ 1. Φύσιν ὁ Ἀριστοτέλης καλεῖ τὴν δημιουργικὴν ἐκείνην ἐν τῷ παντὶ δύναμιν, καὶ ἀπεργαζομένην ἐκ τοῦ ὑποκειμένου τῆς ἀμόρφου καὶ ἀποίου ὕλης πάντα τὰ ὄντα κατὰ τὰ αὐτῶν εἴδη, τὴν εἰδοποιὸν ἐκείνην ἐνέργειαν, ἐξ ἧς πάντα παρῆκται πρὸς τέλος τὸ βέλτιστον· τοῦτο δὲ μαρτυρεῖ τὸ τοσάκις ἐν πάσαις αὐτοῦ ταῖς συγγραφαῖς εἰρημένον «οὐδὲν ἡ φύσις μάτην ποιεῖ», ἀλλὰ τέλους τινὸς ἕνεκα δημιουργεῖ ἐν τοιαύτῃ ἢ τοιαύτῃ συγκρίσει καὶ διακρίσει, καὶ τοιόνδε ἢ τοιόνδε μορφοῖ, καὶ καϑάπερ σοφός τις ἀρχιτέκτων οὕτως ἢ ἄλλως διατίϑησι κατὰ λόγον ἕκαστον[1]).

§ 2. Ἀλλὰ φύσιν ὁ Ἀριστ. καὶ τὴν ὕλην καλεῖ, καὶ τὴν ὕλην, ἥν, ὡς εἴρηται, ὡς ὑποκείμενον καὶ τρόπον τινὰ οὐκ ὂν τίϑησιν, ἀλλὰ δυνάμει. Εἰ δ' ἐξ ἀνάγκης ὄν τι, ἀλλ' ἄμορφον, εἰ δὲ τοῦτο, ἐναντίον τῇ μορφῇ· εἰ οὖν ἡ φύσις εἰδοποιός, πῶς ἔσται καὶ ἡ ὕλη φύσις, ἄμορφος οὖσα; λέγομεν οὖν ὅτι τὴν ὕλην φύσιν καλεῖ καϑὸ συναίτιον τοῦ γιγνομένου καὶ ὄντως οὖσαν καὶ ἐναντίαν τῇ στερήσει[2]) τῇ καὶ καϑ' αὐτὸ οὐκ οὔσῃ. Δῆλον οὖν ὡς καὶ ἡ ὕλη λέγοιτ' ἂν φύσις, ἀλλὰ πρώτη καὶ «κυρίως λεγομένη ἐστὶν ἡ οὐσία ἡ τῶν ἐχόντων ἀρχὴν κινήσεως ἐν ἑαυτοῖς ᾗ αὐτά· ἡ γὰρ ὕλη τῷ ταύτης δεκτικὴ εἶναι λέγεται φύσις, καὶ αἱ γενέσεις καὶ τὸ φύεσϑαι τῷ ἀπὸ ταύτης εἶναι κινήσεις. Καὶ ἡ ἀρχὴ τῆς κινήσεως τῶν φύσει ὄντων αὕτη ἐστὶν ἐνυπάρχουσά πως ἢ δυνάμει, ἢ ἐντελεχείᾳ»[3]). Φύσις οὖν ἐστιν ἡ οὐσία τῶν ὄντων, οὐχὶ

ποσόν. Ἡ τε κίνησις ἐνέργεια μέν τις εἶναι δοκεῖ ἀτελὴς δέ· αἴτιον δ' ὅτι ἀτελὲς τὸ δυνατόν, οὗ ἐστιν ἡ ἐνέργεια.» ὅρ. καὶ π. ψυχ. Β'. ε'. § 3 καὶ γὰρ ἔστιν ἡ κίνησις ἐνέργειά τις, ἀτελής μέντοι» καὶ Γ'. ζ, § 1.

14) Τοῦτο ἀτόπως ἡμῖν γε δοκεῖ μεταβαλεῖν τὸν Βόνιτσ· τὸ γάρ ἐκείνῃ ἀναφέρεται τῷ ἀπωτέρῳ, οὐχὶ ταύτῃ τῇ πράξει μόνον ἄνευ τέλους, ἀλλ' ἐκείνῃ τῇ ἐντελῶς ἐχούσῃ, ἐν ᾗ καὶ τέλος καὶ πρᾶξις, ἣ τελεία πρᾶξις. Εὖ ἄρ' ἔχει οὕτως ἔχον· «ἀλλ' ἐκείνῃ ἐνυπάρχει τὸ τέλος καὶ ἡ πρᾶξις,» οὐ δ' ἐννοητέον δὲ μετὰ τὸ πρᾶξις τὸ ἐστίν, ἀλλ' ἐκληπτέον τό, τὸ τέλος καὶ πρᾶξις, ἀντί τοῦ, τελεία πρᾶξις (ὅρ. Μετ. Θ. κεφ. στ'. μέρ. β'. σελ. 397.)

15) ὅρ. Σοφιστ. ἐλ. κβ'. 178 α. 9. π. αἰσϑ. στ'. 446 β. 2.

16) Μετ. Θ. στ'. 1048 β. 18. τὸ ἀνωτέρω δ' εἴληπται ἐκ τοῦ Βόνιτσ συμπεπληρωμένον πως ὅρ. καὶ Φυσ. Β'. γ'. 194 β. 35.

1) περίεργον ἡμῖν ἔδοξε παρατιϑέναι τὰ χωρία ἐν οἷς τό, οὐδὲν ἡ φύσις μάτην ποιεῖ, εὕρηται· πᾶς γάρ, ᾗ τινι δήποτε τοῦ Ἀριστ. συγγραφῇ ἐντυγχάνων, ὄψεται αὐτό, μάλιστα δ' ἐν αἷς περὶ τῶν ζώων πεπραγμάτευται καὶ περὶ φύσεως.

2) «Ἡμεῖς μὲν γὰρ ὕλην καὶ στέρησιν ἕτερον φαμὲν εἶναι, καὶ τούτων τὸ μὲν οὐκ ὂν εἶναι κατὰ συμβεβηκός, τὴν ὕλην, τὴν δὲ στέρησιν καϑ' αὐτήν, καὶ τὴν μὲν ἐγγὺς καὶ οὐσίαν πως, τὴν δὲ στέρησιν οὐδαμῶς» Φυσ. Α'. ϑ'. 192 α. 3. Εἰ οὖν ἐναντιώσεις τὸ ὂν καὶ τὸ οὐκ ὄν, τοῦτο δὲ κατά συμβεβηκὸς καὶ οὐχὶ καϑ' αὑτό, ὥσπερ ἡ στέρησις, ἡ ὕλη μόνον εἰς τὸ φύεσϑαί τι συμβάλλεται, ὥς τις ἀρχή, οὐ μέντοι ἡ πρώτη, καὶ τοῦτον τὸν τρόπον καλοῖτ' ἂν φύσις· ὥσπερ γαρ ἐν τῷ ϑήλει καὶ ἄρρενι καὶ τὸ καλόν ἐστι, τά δ' ἄλλα συνεργά τρόπον τινὰ καὶ κατὰ συμβεβηκός, οὕτω καὶ ἐν τῷ ὕλῃ συνειλημμένῳ ὄντι ἡ ὕλη καϑὸ συναιτία φύσις κληϑῆναι δύναται, οὐ μέντοι γ' ἡ πρώτη κυρίως. Ὅμως δ' ἀνάγκη ἀΐδιον εἶναι καὶ ἄφϑαρτον· εἰ γάρ μὴ ἦν, ζητεῖν ἔδει ἕτερον ὑποκείμενον ἐξ οὗ αὕτη καὶ οὕτως εἰς ἄπειρον. «Ἀλλὰ τοῦτ' ἐστιν ἡ ὕλη, ὥσπερ ἂν εἰ ϑῆλυ ἄρρενος καὶ αἰσχρὸν καλοῦ· πλήν οὐ καϑ' αὑτὸ αἰσχρόν, ἀλλὰ κατὰ συμβεβηκός· φϑείρεται δὲ καὶ γίγνεται ἔστι μὲν ὥς, ἔστι δ' ὡς οὔ· ὡς μὲν γὰρ τὸ ἐν ᾧ καϑ' αὑτὸ φϑείρεται· τὸ γὰρ φϑειρόμενον ἐν τούτῳ, ἐστὶν ἡ στέρησις· ὡς δὲ κατὰ δύναμιν οὐ καϑ' αὑτό, ἀλλ' ἄφϑαρτον καὶ ἀγέννητον ἀνάγκη αὐτὴν εἶναι· εἴτε γὰρ ἐγίγνετο ὑποκεῖσϑαί τι δεῖ πρῶτον· τοῦτό δ' ἐστιν αὐτή ἡ φύσις, ὥστ' ἔσται πρὶν γενέσϑαι» (αὐτ. στ. 22. κ. ε.). ξημειωτέον τὸ «ἐν ᾧ» καὶ «ἐν τούτῳ», ἐν τοῖς τόδε τι οὖσι καὶ εἰς στέρησιν μεταβάλλουσιν οὐχ ὕλης, ἀλλὰ μᾶλλον εἴδους· ἡ γὰρ ὕλη ἔσται ὑποκειμένη καὶ οὐ φϑειρομένη καϑ' αὑτό. Ὅρ. δὲ καὶ Μετ. Λ. β'. κεφ. Θ. α'. 1046 α. 22 κ. ε.

3) Μετ. Δ. β'. 1015 α. 14. Σημειωτέον ὅτι ἐνταῦϑα εἴρηται μόνον ποσαχῶς ἡ φύσις λέγεται, ἀκριβέστερον δ' ἐν τῇ Φυσικῇ ἀκροάσει διώρισται.

δὲ αὐτὰ συνειλημμένα τῇ ὕλῃ· ταῦτα γὰρ τῶν φύσει, καὶ οὐχ ἡ φύσις αὐτή, ἡ μορφὴ ἐν αὐτοῖς[4]). Ὥσπερ γὰρ ἐν τοῖς ἀπὸ τέχνης οὐδὲν ἐστι ξύλον ἢ χαλκὸς ἢ μάρμαρον, ἀλλὰ κλίνη ἢ ἀνδριάς, ἢ ἕτερόν τι κατὰ τὸ εἶδος λεγόμενον, οὕτω καὶ ἐν τοῖς φύσει φύσις ἐστὶν ἡ μορφή[5]).

«Ἕνα μὲν τρόπον οὕτως ἡ φύσις λέγεται, ἡ πρώτη ἑκάστῳ ὑποκειμένη ὕλη τῶν ἐχόντων ἐν ἑαυτοῖς ἀρχὴν κινήσεως καὶ μεταβολῆς, ἄλλον δὲ τρόπον ἡ μορφὴ καὶ τὸ εἶδος τὸ κατὰ τὸν λόγον»[6]), ἀλλὰ κυρίως φύσις ἐστὶν ἡ μορφή. Εἰ δὲ τέλος ἡ μορφή, «τοῦ τέλους δ' ἕνεκα τἆλλα, αὕτη ἂν εἴη ἡ αἰτία ἡ οὗ ἕνεκα»[7]). Ἄλλον δ' αὖ τρόπον λέγοιτ' ἂν φύσις τὸ σύνολον καὶ ἐξ ὕλης καὶ εἴδους σύνθετον, πλὴν προτέρα ἡ μορφὴ καὶ τὸ εἶδος ἀμφοτέρων, προτέρα δὲ οὖσα οὐχὶ ὡς καθ' ἑαυτὴν καὶ ἀπολελυμένη, ἀλλὰ δυνάμει πάντα τὰ εἴδη ἐν ἑαυτῇ ὡς τῇ πρωτίστῃ ἀρχῇ περιλαμβάνουσα[8]).

Καὶ περὶ μὲν τοῦ οὗ ἕνεκα ἐν κεφ. η΄. τῆς Φυσ. Ἀκροάσεως διείληπται, ᾗ δείκνυται ὅτι πάντα ἕνεκά του γίγνεται, καθάπερ ἐν τοῖς ἀπὸ τέχνης οὕτω καὶ τοῖς φύσει. Οὐ μόνον δ' ἐνταῦθα ἀλλὰ καὶ πανταχοῦ καθορᾷ τις τὸν Ἀριστοτέλη ἀναζητοῦντα τὸν λόγον οὗ ἕνεκα αὕτη ἢ ἐκείνη ἡ ἀρχὴ συντρέχει καὶ συνεργεῖ πρὸς τὸ γενέσθαι τι, καὶ ἀποδιδόντα ἐν ἑκάστῳ τὸ διατί· τοῦτο δὲ καλεῖ φύσιν, ἢ φύσει γιγνόμενον τι.

§ 3. Ἀλλὰ πρὸς τὸ γενέσθαι τι ἀνάγκη κίνησιν εἶναι. «Διτταὶ δὲ αἱ ἀρχαὶ αἱ κινοῦσαι φυσικῶς, ὧν ἡ ἑτέρα οὐ φυσική· οὐ γὰρ ἔχει κινήσεως ἀρχὴν ἐν αὑτῇ. Τοιοῦτον δ' ἐστὶν εἴ τι κινεῖ μὴ κινούμενον, ὥσπερ τό τε παντελῶς ἀκίνητον, καὶ τὸ πάντων πρῶτον, καὶ τὸ τί ἐστι, καὶ ἡ μορφή· τέλος γὰρ καὶ οὗ ἕνεκα· ὥστε ἐπεὶ ἡ φύσις ἕνεκά του καὶ ταύτην εἰδέναι δεῖ, καὶ πάντως ἀποδοτέον τὸ διατί, οἷον ὅτι ἐκ τοῦδε

---

4) «ὥστε ἄλλον τρόπον ἡ φύσις ἂν εἴη τῶν ἐχόντων ἐν ἑαυτοῖς κινήσεως ἀρχὴν ἡ μορφὴ καὶ τὸ εἶδος, οὐ χωριστὸν ὄν, ἀλλ' ἢ κατὰ τὸν λόγον, τὸ δ' ἐκ τούτων φύσις μὲν οὐκ ἔστι, φύσει δέ οἷον ἄνθρωπος, καὶ μᾶλλον αὕτη φύσις τῆς ὕλης· ἕκαστον γὰρ τότε λέγεται ὅταν ἐντελεχείᾳ ᾖ μᾶλλον, ἢ ὅταν δυνάμει» Φυσ. Β΄. α΄. 193 β. 3.

5) Αὐτόθι 9. κ. ε. Μετ. Ζ. ζ΄. 1032 α. 20. «Δυνάμει γὰρ καὶ εἶναι καὶ μὴ εἶναι ἕκαστον αὐτῶν, τοῦτο δ' ἐστιν ἐν ἑκάστῳ ἡ ὕλη· καθόλου δὲ καὶ ἐξ οὗ (ἐνν. πρώτου), φύσις,καὶ καθ' ὅ (ἐνν. καθ' αὐτὸ), φύσις· τὸ γὰρ γιγνόμενον ἔχει φύσιν, οἷον φυτόν, ἢ ζῶον, καὶ ὑφ' οὗ, ἡ κατὰ τὸ εἶδος λεγομένη φύσις ὁμοειδής.» Οὐχ ὥρισται πλὴν ὧδε τὶ τὸ πρώτως καὶ κυρίως, δῆλον μέντοι γ' ὅτι τὸ γ΄. ἐν δέ τῷ Λ. γ΄. 1070 α. 11 κ. ε. φύσιν καλεῖ τὴν καθ' αὑτὸ οὐσίαν, τὸ εἶδος ἐν ᾧ καὶ ἕξις τις πρὸς τὸ τοιόνδε ἢ τοιόνδε τὸ πρᾶγμα γενέσθαι.

6) Φυσ. Β΄. α΄. 193 α. 28.

7) Φυσ. Β΄. η΄. 199 α. 30 καὶ β΄. 194 α. 27 «Ἔτι τὸ οὗ ἕνεκα καὶ τὸ τέλος αὐτῆς, καὶ ὅσα τούτων ἕνεκα, ἡ δὲ φύσις τέλος καὶ οὗ ἕνεκα.» Περὶ τοῦ, τούτου ἕνεκα, κατωτέρω ἐροῦμεν.

8) ὅρ. ἀνωτ. ἔνθα ἱκανὰ περὶ τοῦ εἴδους καὶ τοῦ τὶ ἦν εἶναι οὐ κατὰ μέθεξιν τῶν ἰδεῶν, ὡς παρὰ Πλάτωνι, ἀλλ' ἐν τοῖς οὖσιν αὐτοῖς, ὧν πρωτίστη ἀρχή καὶ αἰτία ἡ φύσις.

ἀνάγκη τόδε· τὸ δὲ ἐκ τοῦδε ἢ ἁπλῶς ἢ ὡς ἐπὶ τὸ πολύ, καὶ εἰ μέλλει τοδί ἔσεσθαι, ὥσπερ ἐκ τῶν προτάσεων τὸ συμπέρασμα. καὶ ὅτι τοῦτ' ἦν τὸ τὶ ἦν εἶναι, καὶ διότι βέλτιον οὕτως οὐχ ἁπλῶς, ἀλλὰ τὸ πρὸς τὴν ἑκάστου οὐσίαν»[9]). Ἐντεῦθεν δῆλον ὅτι δύο αἱ κινοῦσαι ἀρχαί· κινοῦσαι ἀμφότεραι, ἀλλ' ἡ μὲν κινοῦσα ἀκίνητος, ἡ δὲ οὐ διώρισται, ἀλλ' ἔστιν εἰκάσαι ὡς ἔχουσα κινήσεως ἀρχὴν ἐν ἑαυτῇ, καὶ κινουμένη κινεῖ. Ἔσται οὖν προτέρα ἡ κινοῦσα ἀκίνητος. Ἀλλ' ἀμφότεραι ὡς τέλος καὶ ἕνεκά του· πῶς οὖν ἔχουσα ἑκατέρα ἕνεκά του καὶ ὡς τέλος λέγεται; πῶς δ' ἔσται ἑκατέρα εἶδος καὶ μορφή; (ἡ γὰρ φυσικὴ ἀρχὴ οὐκ ἄνευ εἴδους, ὡς εἴρηται, καὶ φύσις μᾶλλον τὸ εἶδος καὶ ἡ μορφὴ κέκληται). Εἰ δ' ἐν τῇ φύσει τὸ εἶδος, καὶ φύσις μᾶλλον τὸ εἶδος καθ' αὑτήν, πῶς ἔσται καὶ ἑτέρα οὐ φυσική, μορφή μέντοι καὶ αὕτη οὖσα καὶ τέλος καὶ οὗ ἕνεκα; πῶς δ' ἄν τις οὐκ ἐπιτιμῴη τῷ Ἀριστ. τοσάκις ἐγκαλοῦντι τῷ Πλάτωνι, ὡς τιθέντι τῶν φύσει ὄντων ἰδέας ἀκινήτους, αὐτῷ δὲ τῷ αὐτῷ ἁμαρτήματι περιπεσόντι; Ἀλλ' ἴδωμεν μὴ οὐκ ἐνδίκως τοιαύτην τινὰ μομφὴν αὐτῷ ἐπιρρίψαντες γέλωτα ὄφλωμεν. Ἀνασκοπούμενοι τὸ ἀνωτέρω χωρίον διορῶμεν ὅτι κινήσεως χρεία, αὕτη δὲ τὸ πρῶτον ἐξ ἀρχῆς ἀκινήτου, καὶ κινούσης μὴ κινουμένης αὐτῆς, καὶ ἀρχῆς ἄρα παντός εἴδους καὶ μορφῆς οὔσης, καί, ὡς εἰπεῖν, πηγῆς παντὸς ὄντος[10]), ἐνεργείᾳ ἀϊδίου, καὶ τρόπον τινὰ περιλαμβανούσης δυνάμει πᾶν εἶδος· τοῦτο δ' ἐστι τὸ πρῶτον κινοῦν ἀκίνητον, ὁ νοῦς· ἡ δ' ἑτέρα ἀρχὴ ἡ φυσικὴ οὐκ ἔστιν ἑτέρα, ἀλλ' ἡ ἐμμονὴ τῆς πρώτης κινήσεως, καὶ ἡ ἐνέργεια, ἡ τῇ συνδρομῇ τῆς ἑτέρας ἀρχῆς, τῆς ὕλης, δημιουργοῦσα πάντα τὰ φυσικὰ ὄντα, καὶ τρόπον τινὰ δευτέρα μὲν πρὸς τὴν πρώτην καὶ κυριωτάτην καὶ προϊὸν αὐτῆς, πρώτη δὲ πρὸς τὴν ὕλην καὶ κυριωτέρα, ὡς εἶδος καὶ μορφή. Ἀρχὴ δὲ οὐκ αὐθυπόστατος, ἀλλ' ὄργανον ὑφ' ἑτέρας ἀρχῆς ἀκινήτου κινούμενον, καὶ ἀναπλάττον οὕτως ἢ ἄλλως τὸ ἄμορφον ὑποκείμενον τὴν ὕλην. Ὅτι δὲ ταῦτα οὕτως ἔχει, δῆλον ἐπισκοποῦσιν, ὅτι ἡ φύσις ἕνεκά του, καὶ τοῦτο εἰδέναι χρή, τὸ γιγνόμενον ἀνερευνᾶν, καὶ ἐξακριβοῦν τίνος ἕνεκα τὸ μόριον τοῦτο ἐγένετο; διατὶ τὸ ζῶον τοῦτο καὶ τὸ φυτὸν οὕτως ἔχει; καὶ εἰ οὕτως ἢ ἄλλως πρότερον ἔσχε πρὸς τὸ ἔχειν νῦν ὧδε. Ἔτι ζητεῖν τὰς ἀρχὰς ἃς ἀναγκαῖον κινῆσαι πρώτας πρὸς τὸ γενέσθαι τόδε τι, οὐ μόνον δὲ ταύτας, ἀλλὰ καὶ τὰς συνεργησάσας. Καὶ συνελόντι φάναι, ζητεῖν τὴν ἐνέργειαν τὴν ἐν τοῖς καθ' ἕκαστα οὖσαν, οὐ μόνον δὲ τὴν νῦν οὕτως ἔχουσαν ἐνέργειαν, ἀλλὰ τὴν πρώτην, τὴν πρώτην δὲ ἐν τῷδε τῷ φυσικῷ ὄντι, καὶ οὕτω φύσις ἂν εἴη οὐ τόδε τι ὡρισμένον, ἀλλὰ πᾶσα ἐνέργεια φαινομένη καὶ τόδε ἢ ἐκεῖνο τὸ εἶδος παράγουσα· ἐνέργεια ἥδε, οὐχ ἡ πρωτίστη δὲ πάντων ἀλλὰ προϊὸν αὐτῆς καὶ δευτέρα, καὶ τρόπον τινὰ ὡς οἱ διάφοροι χειροτέχναι πρὸς τὸν ἀρχιτέκτονα, καὶ ὁ πηδαλιοῦχος

---

9) Φυσ. Β΄. ζ΄. 198 α. 35.

10) Ὅτι τοῦτο ὁ νοῦς καὶ πῶς κινοῦν ἀκίνητον, καὶ τίνα αὐτῷ προσόντα, τὰ τοιαῦτα πολλῶν δεῖται πόνων, ἐν δὲ τῷ οἰκείῳ τόπῳ ὅσον ἐνδέχεται ἐροῦμεν.

πρὸς τὸν κυβερνήτην, οὕτως ἡ φύσις πρὸς τὸν νοῦν[11]). Τούτων οὖν οὕτως ἐχόντων ῥᾷόν ἐστι κατανοῆσαι τὴν πολυϑρύλλητον ἐκείνην ῥῆσιν, «διττὸν τὸ οὗ ἕνεκα, τό τε οὗ, καὶ τὸ ᾧ». Ἀλλὰ περὶ τούτου προϊόντες διὰ μακρῶν ἐροῦμεν· νῦν δ' ἐπεὶ ἐνταῦϑα τῆς ζητήσεως ἐγενόμεϑα, λέγομεν ὅτι τὸ ᾧ ἐστιν ἡ φύσις, τὸ γιγνόμενον ἐν παντί, ἢ μᾶλλον ἡ ἐνέργεια ἡ ἐν παντὶ τῷ γιγνομένῳ πρὸς τέλος τι ἐξεργαζομένη τι[12]), καὶ τοῦτο ἡ πρώτως καὶ κυρίως φύσις, καὶ εἴη ἂν ταὐτὸ τῷ εἴδει, καὶ τῇ οὐσίᾳ, ἀλλ' οὐ πρώτως καὶ κυριώτατα καὶ ἡ πρωτίστη ἀρχή, ἐκ ταύτης δέ, καὶ κινοῦσα κινουμένη[13]).

Ἰστεόν δ' ὅτι ἡ φύσις ἐπὶ πολλῶν παρὰ τῷ Ἀριστοτέλει λέγεται, μάλιστα δ' ἐπὶ τῶν τοιαύτην ἢ τοιαύτην διάϑεσιν ἢ ἕξιν ἐχόντων, ὡς «τὴν τῆς γῆς φύσιν ὡς ϑῆλυ καὶ μητέρα νομίζουσιν»[14]), «τὴν τῶν σπλάγχνων ἅπασαν οὐκ ἔχει φύσιν»[15]), «τὴν τῶν τριχῶν φύσιν»[16]), «τὰ σπέρματα τὴν φύσιν ὑγρὰν ἔχειν»[17]), «τὴν τοῦ ἀγαϑοῦ φύσιν»[18]). Καὶ ταῦτα μὲν

11) Φυσ. Β'. β'. 194 α. 36 «Δύο δὴ αἱ ἄρχουσαι τῆς ὕλης καὶ αἱ γνωρίζουσαι τέχναι, ἥ τε χρωμένη, καὶ τῆς ποιητικῆς ἡ ἀρχιτεκτονική. Διὸ καὶ ἡ χρωμένη ἀρχιτεκτονική πως· διαφέρει δὲ ᾗ ἡ μὲν τοῦ εἴδους γνωριστικὴ ἡ ἀρχιτεκτονική, ἡ δὲ ὡς ποιητικὴ τῆς ὕλης· ὁ μὲν γὰρ κυβερνήτης ποῖόν τι τὸ εἶδος τοῦ πηδαλίου γνωρίζει καὶ ἐπιτάττει, ὁ δὲ ἐκ ποίου ξύλου καὶ ποίων κινήσεων ἔσται. Ἐν μὲν οὖν τοῖς κατὰ τέχνην ἡμεῖς ποιοῦμεν τὴν ὕλην τοῦ ἔργου ἕνεκα, ἐν δὲ τοῖς φυσικοῖς ὑπάρχει οὖσα. Ἔτι τῶν πρός τι ἡ ὕλη· ἄλλῳ γὰρ εἴδει ἄλλη ὕλη. Μέχρι δὴ πόσου τὸν φυσικὸν δεῖ εἰδέναι τὸ εἶδος καὶ τὸ τί ἐστιν; ἢ ὥσπερ ἰατρὸν νεῦρον, ἢ χαλκέα χαλκόν, μέχρι του· τινός γαρ ἕνεκα ἕκαστον, καὶ περὶ ταῦτα ἅ ἐστι χωριστὰ μὲν εἴδει ἐν ὕλῃ δέ· ἄνϑρωπος γάρ ἄνϑρωπον γεννᾷ καὶ Ἥλιος. πῶς δ' ἔχει τὸ χωριστὸν καὶ τί ἐστι, φιλοσοφίας τῆς πρώτης διορίσαι ἔργον.» Ἐντεῦϑεν δὴ πᾶσα ἀμφιβολία αἴρεται περὶ διαφορᾶς τῆς ἐνεργείας ἐν τῇ φύσει καὶ τοῦ νοῦ. Ἡ φύσις δὴ ἐνέργειά τις, ὡς ἡ ὀργάνου, ποιοῦντος, ἀλλ' οὐ πρώτως καὶ συνειδότος, ἄλλοϑι δ' ἔχοντος τὴν ἀρχὴν καὶ τὴν κίνησιν, καὶ οὐχ αὐϑυποστάτου, ἀλλ' ἐργαζομένου ἕνεκά του. Κατ' ἀναλογίαν δὲ τοῦτο ἐκ τῶν ἀπὸ τέχνης πρόεισιν· ἐν γὰρ τῇ τέχνῃ οὐ σύνοιδεν ὁ ποιητικὸς ἑαυτῷ ἐργαζομένῳ τι, οὐ μέντοι γε καὶ ἡ φύσις· ἀλλ' ὡς εἰ ἦν ἐν τῇ τέχνῃ ὁ αὐτὸς ἐργαζόμενος καὶ χρώμενος, ἑτέρα δ' ἡ χρῆσις τοῦ πεποιημένου, ἑτέρα δ' ἡ ποίησις αὐτοῦ, οὕτω καὶ ἐν τῇ φύσει· φύσις ἔσται ἡ ποίησις αὐτὴ τοῦ ποιουμένου, χρῆσις δὲ τὸ οὗ ἕνεκα, τὸ τῷ νῷ τεϑειμένον βέλτιστον τέλος. Ὅρ. π. Οὐρ. Α'. α'. 268 α. 1. καὶ β'. β. 16.

12) Ἐν τῷ, «π. τ. καϑ' ὕπν. μαντικῆς» εἴρηται· «ἡ γὰρ φύσις δαιμονία ἀλλ' οὐ ϑεία» καὶ ταύτης τὰ τῶν εὐτελῶν ἀνϑρώπων προορατικὰ καὶ μαντικὰ ἐνύπνια, οὐχί δέ τοῦ ϑείου. «μεϑ' ἡμέραν τε γὰρ ἐγίγνετ' ἄν, καὶ τοῖς σοφοῖς εἰ ϑέος ἦν ὁ πέμπων« (κεφ. β'.) περαιτέρω δ' οὐδὲν ἐξηκρίβωται.

13) π. ζω. μορ. Α'. α'. 641 α. 25.

14) π. ζω. γεν. Α'. β'. 716 α. 15.

15) π. ζω. μορ. Δ'. ε'. 678 α. 28 καὶ 31.

16) π. ζω. γεν. Δ'. γ'. 783 β. 34.

17) Μετ. Α. γ' 983 β. 26.

18) Μετ. α. ἔλατ. β'. 994 β. 13 ὅρ. καὶ Δ. δ'. δέ ποσαχῶς ἡ φύσις.

περὶ φύσεως. Ἐπεὶ δὲ ἡ φύσις καὶ πᾶν τὸ κατὰ φύσιν ἐν κινήσει, ῥητέον καὶ περὶ ταύτης μικρά τινα ὡς οἷόν τε, πλὴν ἱκανὰ ἡμᾶς διδάξαι τί ποτ' ἂν περὶ ταύτης τῷ Ἀριστοτέλει δεδογμένον εἴη.

Κεφ. ϑ'.

Ἡ κίνησις.

§ 1. Εἴρηται ὅτι δύο αἱ ἀρχαι, ἥτε ὕλη καὶ τὸ εἶδος, καὶ ἡ μὲν ὕλη ἄμορφόν τι καὶ ἄποιον καὶ δυνάμει, τὸ δὲ εἶδος ἡ οὐσία καὶ τὸ οὗ ἕνεκα, τοῦτο δ' ἐν τῷ πρώτως καὶ κυριώτατα κινοῦντι ἀκινήτῳ. Πῶς οὖν ταῦτα συντίϑεται εἰς τόδε τι τὸ ἐξ ἀμφοῖν, καὶ ἀπεργάζεται τὸ συνειλημμένον φυσικὸν σῶμα; Ἡ ἀπορία αὕτη, εἴπου καὶ ἀλλαχοῦ, ἐν τῷ «περὶ γενέσεως καὶ φϑορᾶς» λέλυται. ἐκεῖ γὰρ διακριβούμενος τὰ περὶ ὕλης, καὶ μέσον αὐτὴν τιϑεὶς καὶ ἀχώριστον[1]), μέσην τῶν δύο ἐναντιοτήτων ϑερμοῦ καὶ ψυχροῦ, καὶ τοιαύτην οὖσαν, ὡς αἴτιον αὐτὴν τοῖς γενητοῖς ἀπεφήνατο, καὶ δὴ καὶ μίξιν τινά, ἀλλὰ δυνάμει τόδε τι· διὸ καὶ ἐπιτιμᾷ τοῖς μόνην τὴν ὕλην αἰτίαν τοῖς γιγνομένοις τεϑεικόσι καὶ παραλαλελοιπόσι τὴν «κυριωτάτην αἰτιαν», τὸ οὗ ἕκενεν, ὅ ἐστιν «ἡ μορφὴ καὶ τὸ εἶδος, τουτό δ' ἐστὶν ὁ λόγος ὁ τῆς ἑκάστου οὐσίας»[2]). Εἶτα δ' αὖ τὰ εἴδη, καὶ ἀνασκευάσας καὶ τοὺς μόνην ταύτην τοῖς οὖσι τὴν ἀρχὴν τιϑέντας (πολλὰ γὰρ συμβαίνει τὰ ἄτοπα, ὡς ἐν τῇ Μεταφυσ. διὰ πολλῶν ταῦτα πεπραγμάτευται, εἰ μόνον αἰτία καὶ ἀρχὴ γενέσεως καὶ φϑορᾶς τὰ εἴδη μόνον ἐστίν[3]), ἄμφω, λέγομεν, ἀποδεξάμενος, οὐχ ἱκανάς ταύτας οἴεται, ἀλλὰ καὶ τρίτην τίϑησιν ἐξ ἀνάγκης πρὸς τὸ γενέσϑαι τι, τὸ αἰσϑητὸν καὶ ἐξ ἀμφοῖν σύνϑετον[4])· αὕτη δ' ἐστὶν ἡ κίνησις· ἐπεὶ δὲ κινήσεις πολλαί, ἀνάγκη τὴν πρώτην

1) π. γεν. κ. φϑ. Β'. κεφ. ζ'. καὶ η'.

2) Αὐτόϑι Β'. ϑ'. 335 β. 5.

3) Αὐτόϑι ἐφεξῆς «οὐδέτεροι δέ λέγουσι καλῶς· εἰ μὲν γὰρ ἔστιν αἴτια τὰ εἴδη, διατὶ οὐ γεννᾷ συνεχῶς, ἀλλὰ ποτέ μεν, ποτέ δ' οὔ; ὄντων καὶ τῶν εἰδῶν ἀεὶ καὶ τῶν μεϑεκτικῶν; ἔτι δ' ἐπ' ἐνίων ϑεωροῦμεν ἄλλο τὸ αἴτιον ὄν· ὑγιείαν γὰρ ὁ ἰατρὸς ἐμποιεῖ καὶ ἐπιστήμην ὁ ἐπιστήμων, οὔσης καὶ ὑγιείας αὐτῆς καὶ ἐπιστήμης καὶ τῶν μεϑεκτικῶν . . . Εἰ δὲ τὴν ὕλην τις φήσειε γεννᾶν, φυσικώτερον μὲν ἄν λέγοι τῶν οὕτω λεγόντων· οὐ μὴν ἀλλὰ καὶ οὗτοι οὐκ ὀρϑῶς λέγουσι· τῆς μὲν γὰρ ὕλης τὸ πάσχειν ἐστὶ καὶ τὸ κινεῖσϑαι, τὸ δὲ κινεῖν καὶ ποιεῖν ἑτέρας δυνάμεως. Δῆλον δὲ καὶ ἐπὶ τῶν τέχνῃ καὶ ἐπὶ τῶν φύσει γιγνομένων· οὐ γὰρ αὐτὸ ποιεῖ τὸ ὕδωρ ζῶον ἐξ εαυτοῦ, οὐδέ τό ξύλον κλίνην, ἀλλ' ἡ τέχνη. Ὥστε καὶ οὗτοι διὰ τοῦτο λέγουσιν οὐκ ὀρϑῶς, καὶ ὅτι παραλείπουσι τὴν κυριωτάτην αἰτίαν· ἐξαιροῦσι γὰρ τὸ τὶ ἦν εἶναι καὶ τὴν μορφήν» . . . .

4) Αὐτόϑι 335 β. 7. «Δεῖ δὲ προσεῖναι καὶ τρίτην, ἣν ἅπαντες μὲν ὀνειρώττουσι, λέγει δ' οὐδείς.»

εἶναι· τοιαύτη δ' ἡ φορὰ ἡ πρώτη καὶ αΐδιος, καθὸ συνεχὴς καὶ ἐνδελεχῶς ποιοῦσα τὴν γένεσιν [5]).

§ 2. Διοριστέον οὖν περὶ κινήσεως. «Ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια, ᾗ τοιοῦτον, κίνησίς ἐστιν» [6]). Ἁπλῶς μὲν οὖν κίνησίς ἐστιν ἡ μεταβολὴ παντὸς τοῦ δυνάμει ὄντος εἰς ἐνέργειαν. Εἴρηται μὲν δὴ ὅτι δυνάμει εἶναι, ἐστὶ τὸ ἔχειν ἀρχὴν μεταβολῆς· ἀλλ' ἡ ἀρχὴ αὕτη αἰτία τρόπον τινὰ καὶ διάθεσις πρὸς τὸ μεταβάλλειν, ἠρεμοῦσα μὴν καὶ τοῖς ἐναντίοις ὑποκειμένη καὶ οὐκ ὄν· εἰ δὲ καὶ ὄν, ἀλλὰ πρὸς τὸ γενησόμενον δυνάμει, καὶ ἔχον οὕτως, δυνάμει δὲ πρὸς τὸ ἄλλως ἔχειν. Πρὸς οὖν τὸ ἄλλως ἔχειν ἀνάγκη μεταβάλλειν, τοῦτο δὲ τῆς κινήσεως, ἔσται δὴ κίνησις ἡ μεταβολὴ ἐκ τῆς ἠρεμίας εἰς τὸ ἐναντίον καὶ ἐκ στερήσεως εἰς ἕξιν· ὥστε ταὐτὸ δοκεῖ μεταβολὴ καὶ κίνησις [7]). Ἐπεὶ δὲ πολλαὶ κινήσεις εἰσίν, ζητητέον πρῶτον τίς ἡ πρώτη αὐτῶν, εἶτα δὲ ῥᾷον ἔσται καὶ τὰς ἄλλας διορίσαι. Εἴρηται οὖν ὅτι τὸ ἐναντίον τῇ ἠρεμίᾳ ἔσται κίνησις. Εἰ οὖν μεταβάλλοι ἡ ἠρεμία εἰς κίνησιν, τίς ἔσται αὕτη; ἡ φορά, ἀποκρίνεται ὁ Ἀριστ. εἰς τοῦτο δ' ἀφικνεῖται ἐκ τοῦ ὅτι πᾶν τὸ γιγνόμενον συγκρίσει καὶ διακρίσει, καὶ πυκνώσει ἢ μανώσει γίγνεται, τοῦτο δ' ἀδύνατον ἄνευ τῆς κατὰ τόπον μεταβολῆς. Εἰ δὲ καὶ φορᾶς καὶ τῷ ἐφεξῆς, ἀνάγκη τὴν πρώτην εἶναι· ταύτης γὰρ ἕνεκα αἱ λοιπαί [8]). Ἀλλὰ πολλὰ εἴδη φορᾶς, οἷον ἡ ἄνω φορά, καὶ ἡ μάτω, καὶ ἡ εἰς δεξιά, καὶ ἡ εἰς ἀριστερά [9]), ἐκτὸς δὲ τούτων τὰ τέτταρα εἴδη τῆς ὑπ' ἄλλου φορᾶς «ἕλξις, ὦσις, ὄχησις δίνησις» [10]), καὶ ὅσα τούτων εἴδη, οἷον σπάθησις κέρκισις [11]). Τοσούτων οὖν εἰδῶν

---

5) π. γεν. κ. φθ. Β'. ί. 336 α. 15. «Ἐπεὶ ἡ κατὰ φορὰν κίνησις δέδεικται ὅτι αΐδιος, ἀνάγκη τούτων ὄντων καὶ γένεσιν εἶναι συνεχῶς· ἡ γὰρ φορὰ ποιήσει τὴν γένεσιν ἐνδελεχῶς διὰ τὸ προσάγειν καὶ ἀπάγειν τὸ γεννητικόν. Ἅμα δὲ δῆλον ὅτι καὶ τὰ πρότερον καλῶς εἴρηται, τὸ πρώτην τῶν μεταβολῶν τὴν φοράν, ἀλλὰ μὴ τὴν γένεσιν εἰπεῖν· πολὺ γὰρ εὐλογώτερον τὸ ὂν τῷ μὴ ὄντι γενέσεως αἴτιον εἶναι, ἢ τὸ μὴ ὂν τῷ ὄντι τοῦ εἶναι. τὸ μὲν οὖν φερόμενον ἔστι, τό δὲ γιγνόμενον οὐκ ἔστιν.»

6) Φυσ. Γ'. α'. 201 α. 10 καὶ 27. «Ἡ δὲ τοῦ δυνάμει ὄντος ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ, ἢ αὐτὸ ἢ ἄλλο, ᾗ κινητόν, κίνησίς ἐστιν.» Τῶν, «αὐτὸ ἢ ἄλλο,» ἰστέον ὅτι ἐπὶ τῶν ἐχόντων κίνησιν ἐν ἑαυτοῖς τὸ, «αὐτό» λέγεται, τὸ δὲ «ἄλλο,» ἐφ' ὧν ἔξωθεν ἡ κίνησις.

7) Φυσ. Δ'. ί. 218 β. 19. Ὅτι δὲ κινήσεως ἐναντίον ἡ ἠρεμία ἢ καὶ στέρησίς ἐστιν, ὅρ. Φυσ. ε'. στ'. 229 β. 23 κ. ε.

8) Ὅρ. Φυσ. Θ'. ζ'. κεφ. ὅτι πρώτη κίνησις ἡ φορά· ἐπεὶ δέ φοραὶ πολλαὶ πρώτην ἀνάγκη εἶναι τὴν κυκλικὴν διὰ μακρῶν ἐν τῷ ή. καὶ θ'. κεφαλαίῳ διώρισται.

9) Φυσ. Ε'. ε'. 229 β. 7. «καὶ ἡ ἄνω φορὰ τῇ κάτῳ· ἐναντία γὰρ ταῦτα ἐν μήκει, καὶ ἡ εἰς δεξιὰ τῇ εἰς ἀριστερά· ἐναντία γὰρ ταῦτα ἐν πλάτει, καὶ ἡ εἰς τὸ ἔμπροσθεν τῇ εἰς τὸ ὄπισθεν.»

10) Φυσ. Η'. β'. 243 α. 16. Εἰς ταύτας δὲ ἀνάγει πάσας τὰς κατὰ τόπον κινήσεις.

11) Αὐτόθι 243 β. 6.

φορᾶς ὄντων τίς ἔσται ἡ πρώτη καὶ καθ' αὑτό; Ἀλλ' αὗται πᾶσαι εἴδει διάφοροι, γένει δὲ ἕν· καὶ γὰρ ἐν ἁπάσαις ἕν ἡ μεταβολὴ κατὰ τόπον· «φορά μὲν γὰρ πάσῃ φορᾷ τῷ γένει μία», ἀλλ' «ἀλλοίωσις (δὲ) φορᾶς ἑτέρα τῷ γένει, εἴδει δὲ μία ὅταν τῷ γένει μία οὖσα, καὶ ἐν ἀτόμῳ εἴδει ᾖ» [12]). Εἰ οὖν ἑτέρα τῷ γένει, τίς ἡ πρώτη; ταύτην τίθησιν ὁ Ἀριστ. τὴν κύκλῳ φοράν [13]). Οὕτως οὖν διώρισται ὅτι κίνησις ἡ πρώτη καὶ χρόνῳ προτέρα πασῶν ἐστιν ἡ μεταβολὴ κατὰ τόπον. Εἰ δ' ἡ πρώτη κίνησις μεταβολή, καὶ αἱ ἐξ αὐτῆς κινήσεις μεταβολαί ἂν εἶεν, καὶ ἔσται ταὐτὸν μεταβολή καὶ κίνησις, ἀντιστρόφως δ' ἀνάγκη ὅσαι μεταβολαί, τοσαῦτα καὶ κινήσεων εἴδη εἶναι. Ἀλλὰ μεταβολαὶ τέσσαρές εἰσιν· «μεταβάλλει γὰρ τὸ μεταβάλλον ἀεί, ἢ κατ' οὐσίαν, ἢ κατὰ ποιόν, ἢ κατὰ τόπον» [14]). Εἰ οὖν οὐκ ἔστι κίνησις παρὰ τὰ πράγματα, ἐν τούτοις δὲ μεταβολαὶ τέσσαρες, τέσσαρας ἀνάγκη καὶ τὰς κινήσεις εἶναι [15]).

Τέθεινται γοῦν τέσσαρα εἴδη κινήσεων· πλὴν πῶς ἂν συνδυάζοιτο ταῦτα τοῖς ἀλλοθί ποθ' εἰρημένοις, ὅτι τρεῖς αἱ κινήσεις, κατὰ τὸ ποιόν, καὶ κατὰ τὸ ποσόν, καὶ κατὰ τόπον [16]); Πῶς δὲ παραλέλειπται ἡ κατ' οὐσίαν κίνησις; τοῦτο ῥᾴδιόν ἐστιν εἰδέναι τοῖς τὰ περὶ τῆς οὐσίας συνιοῦσιν· εἴρηται γὰρ ὅτι καὶ ἡ οὐσία ποιόν τι [17]), καὶ εἰ πρώτως καὶ κυρίως τὸ ποιὸν κληθείη, αὐτὴ ἂν εἴη ἡ οὐσία, αὕτη γὰρ αἰτία καθ' αὑτὸ τοῦ τοιάνδε ἢ τοιάνδε μορφὴν πᾶν ὂν ἔχειν· εἰ δ' οὕτως ἢ ἄλλως ἔχοι, τὸ μὲν ἔσται συμβεβηκός, τὸ δ' ἐν ἄλλῳ, τῇ οὐσίᾳ καὶ τῷ εἴδει τὴν πρωτίστην ἀρχὴν ἕξει, καὶ ἔσται τρόπον τινὰ ταυτὸν τῇ οὐσίᾳ τὸ ποιόν.

§ 3. Ἀλλ' ἔσται μεταβολὴ καὶ κίνησις «ἐν ἅπασι καὶ ἀεὶ καὶ

---

12) Φυσ. Ε'. δ'. 227 β. 5.

13) Φυσ. Ζ'. ί. 241 β. 12 ἰδίᾳ δ' ἐν τῷ θ'. τοῦ Θ'. τῆς Φυσ. Μετ. Λ. στ'. 1071 β. 9 «κίνησις . . , οὕτω συνεχὴς ὥσπερ καὶ ὁ χρόνος . . . . κίνησις δ' οὐκ ἔστι συνεχής, ἀλλ' ἢ ἡ κατὰ τόπον, καὶ ταύτης ἡ κύκλῳ.» καὶ ζ'. 1072 α. 20. καὶ Μ. γ'. 1078 α. 12.

14) Φυσ. Γ'. α'. 200 β. 33.

15) Αὐτόθι. Μὴ ταραττέτω δὲ τὸ εἰρημένον ὅτι «κινήσεως καὶ μεταβολῆς ἐστιν εἴδη τοσαῦτα, ὅσα τοῦ ὄντος» εἰ δὲ τὸ ὂν κατὰ τὰς δέκα κατηγορίας λέγεται, ἀνάγκη καὶ τὰς κινήσεις καὶ μεταβολὰς δέκα εἶναι· οὐ μὴν πᾶσαι αἱ κατηγορίαι κινήσεις, ἀλλ' εἰς τὰς τέσσαρας ταύτας ἀνάγονται, ἁπλῶς δὲ καὶ εἰς μίαν μόνην, τὴν πρώτην.

16) «Εἰ οὖν αἱ κατηγορίαι διῄρηνται οὐσίᾳ, καὶ ποιότητι, καὶ τῷ ποῦ, καὶ τῷ ποτέ, καὶ τῷ πρός τι, καὶ τῷ ποσῷ, καὶ τῷ ποιεῖν ἢ πάσχειν, ἀνάγκη τρεῖς εἶναι κινήσεις, τήν τε τοῦ ποιοῦ, καὶ τὴν τοῦ ποσοῦ, καὶ τὴν κατὰ τόπον» Φυσ. ε'. α'. 225 β. 5 ὅρ. καὶ π. Οὐρ. Δ'. γ'. 310 α. 23. «Ἐπεὶ γὰρ εἰσὶ τρεῖς αἱ κινήσεις ἡ μὲν κατά μέγεθος (ποσόν), ἡ δὲ κατ' εἶδος (οὐσία, ποιόν), ἡ δὲ κατὰ τόπον, ἐν ἑκάστῃ τούτων τὴν μεταβολὴν ὁρῶμεν γιγνομένην ἐκ τῶν ἐναντίων εἰς τὰ ἐναντία καὶ τὰ μεταξύ, καὶ οὐκ εἰς τὸ τυχὸν τῷ τυχόντι μεταβολὴν οὖσαν.»

17) Ὅρ. τὰ περὶ οὐσίας καὶ τοῦ τί ἦν εἶναι ἡμῖν ἐκτεθειμένα.

πάντων»[18])· πάντων πλὴν τούτων ἀρχαὶ αἱ πρῶται μεταβολαί, ἐξαιρετέαι ἄρα τοῦ λόγου· κατὰ συμβεβηκός γὰρ. Καθ' αὑτὸ δέ μεταβολὰς τρεῖς τίθησιν ὁ 'Αριστ. ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, ἢ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον, ἢ οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον· αὗται γὰρ «ἐν τοῖς ἐναντίοις καὶ ἐν τοῖς μεταξὺ καὶ ἐν ἀντιφάσει»[19]). 'Αλλὰ καὶ τετάρτη λέγεται μεταβολὴ εἶναι, ἡ οὐκ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον, αὕτη μὴν οὐκ ἔσται μεταβολὴ διὰ τὸ μὴ εἶναι κατ' ἀντίθεσιν· «οὔτε γὰρ ἐναντία, οὔτε ἀντίφασίς ἐστιν»[20]). Ὥστε λέγεται μὲν τετάρτη μεταβολή, οὐκ ὄντως δ' ἔστιν, οὐδὲ μὴν κίνησις. 'Αλλ' ἐκ τῶν τριῶν ἑτέρων μεταβολῶν οὔτε ἡ οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, οὔτε ἡ ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον ἔσται κίνησις· ἄμφω γὰρ ἔχουσι τὸ μὴ ὄν, καὶ ᾗ μὲν τὸ μὴ ὂν ἐξ οὗ τι γίγνεται, τοῦτο γένεσις, ᾗ δὲ εἰς ὃ φθείρεταί τι, τοῦτο φθορά. Εἰ δ' ἐν ἀμφοτέροις τὸ μὴ ὄν, τό δ' οὐκ ἐν κινήσει ἀλλ' ἐν ἠρεμίᾳ, οὐδ' ἐν τόπῳ ἀλλ' ἄνευ τόπου, εἰ δὲ κινεῖσθαι ἐνδέχοιτο κατὰ συμβεβηκὸς κινηθήσεται καὶ οὐχ ἁπλῶς, οὐκ ἂν εἴη κίνησις τούτων. Ὥστε δῆλον ὅτι ἐπὶ πολλῶν ἂν λέγοιτο ἡ μεταβολὴ τῆς κινήσεως, οὐ μέντοι ἔσται κίνησις. Ὑπολείπεται οὖν «τὴν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴν κίνησιν εἶναι»[21])· καὶ πᾶσα κίνησις ἔσται καὶ μεταβολή, ἀλλ' οὐ καὶ πᾶσα μεταβολὴ κίνησις.

§ 4. 'Αρχὴν οὖν πρώτην τὴν πρώτην κίνησιν ὁ 'Αριστ. τίθησιν, αὕτη δ' ἐστὶν ἡ φορά. 'Αλλ' αὕτη ἀόριστόν τι καὶ ἀτελές, καὶ οὐ πάντη ἐναργῶς τῇ διανοίᾳ ληφθείη ἄν, ὅ,τι ἐστίν[22]). 'Ανάγκη οὖν περαιτέρω ζητεῖν αὐτήν, ἐν τῇ ἐμμονῇ αὐτῆς, ἐν τῇ ὕλῃ τῇ προϋπαρχούσῃ ὡς οὐκ ὄν, καὶ τότε φανερὸν τῇ ἐπαγωγῇ καθίσταται, ὅτι ὑπόκειται μὲν ἡ πρώτη κίνησις ἀόριστος, τρεῖς δ' ἐξ αὐτῆς πηγάζουσιν ἐξ ἀνάγκης, ἢ κατὰ ποιόν, ἢ κατὰ ποσόν, ἢ κατὰ τόπον. Καλοῦνται δ' αὗται· ἡ μὲν κατὰ τὸ ποιὸν ἀλλοίωσις, ἡ δὲ κατὰ τὸ ποσὸν φθίσις καὶ αὔξησις, ἡ δὲ κατὰ τόπον φορά[23]).

Τεσσάρων οὖν οὐσῶν κατ' ὄνομα τῶν κινήσεων, πρώτη δέδεικται ἡ φορὰ οὖσα, δευτέραν δὲ τίθησιν ὁ 'Αριστ. τὴν ἀλλοίωσιν, καὶ τρίτον τὴν δυάδα αὐξήσεως καὶ φθίσεως[24]).

'Αλλὰ πῶς ἐν ταῖς Κατηγορίαις ἓξ ποιεῖ τὰς κινήσεις ὁ 'Αριστοτ. ἐν αὐταῖς δὲ γένεσιν καὶ φθοράν, ἃς μεταβολὰς καλεῖ, οὐ μέντοι καὶ κινήσεις; φησί γάρ. «Κινήσεως δ' ἐστὶν εἴδη ἕξ, γένεσις, φθορά, αὔξησις, μείωσις, ἀλλοίωσις, ἡ κατὰ τόπον μεταβολή». Πῶς ἄρα εἰς τοσοῦτον μέγα ἁμάρτημα ὑπέπεσεν ὁ τὰ πολλὰ εὐστοχῶν, καὶ διττόν, τιθεὶς ἅμα καὶ ἀναιρῶν; εἰ μὲν γὰρ ἐτίθη μόνον κακῶς συγγνωστός ἂν ἦν, καὶ τἀνάπαλιν, ἀλλ' ἅμα οἰκοδομῶν καὶ καθαιρῶν! Λέγομεν οὖν ὅτι τῷ μὴ ἐπιστήσαντι καλῶς τὴν διάνοιαν ἐξέσται πάντα λέγειν, εἰ δέ τις μικρὸν πονήσειεν, εὑρήσει ὅτι οὐκ ἄλλως διοριστέα ταῦτα. 'Εν μὲν οὖν τῇ φυσικῇ ἀκροάσει εἴρηται ὅτι ἡ οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολή, καλοῖτ' ἂν μεταβολή, οὐ μὴν ποτ' ἔσται καὶ ὄντως· τὸ γὰρ οὐχ ὑποκείμενον, ὡς οὐκ ὂν ἁπλῶς εἴληπται, τὸ δ' ἁπλῶς οὐκ ὂν πῶς ἡγητέον ἐν κινήσει εἶναι ἢ ἐν τόπῳ ἄμοιρον ὂν πάντων καὶ στέρησις ἁπλῆ; Λόγῳ οὖν γένεσις ἂν κληθείη, ἀλλ' οὐκ ἔσται καὶ τόδε τι, ἐπεὶ οὐδὲ κίνησις· καὶ ἁπλῶς μὲν γένεσις, οὐ μέντοι καὶ πρός τι, καὶ τὸ γιγνόμενον[25])· καὶ λεχθήσεται μὲν γένεσις καὶ μεταβολὴ λόγῳ, οὐκ ἔσται

---

18) Φυσ. Ε'. α'. 224 α. 20 — β. 28.

19) Φυσ. αὐτόθι 224 β. 29.

20) Αὐτόθι 225 α. 1. κ. ε.

21) αὐτόθι 225 α. 12. κ. ε. «Ἡ μὲν οὖν οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴ κατ' ἀντίφασιν, γένεσίς ἐστιν, ἡ μὲν ἁπλῶς ἁπλῆ, ἡ δέ τὶς τινός· οἷον ἡ μὲν ἐκ μὴ λευκοῦ εἰς λευκὸν γένεσις τούτου, ἡ δ' ἐκ τοῦ μὴ ὄντως ἁπλῶς εἰς οὐσίαν, γένεσις ἁπλῶς, καθ' ἥν, ἁπλῶς γίγνεσθαι καὶ οὔ τι γίγνεσθαι λέγομεν. Ἡ δ' ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, φθορά· ἁπλῶς μὲν ἡ ἐκ τῆς οὐσίας εἰς τὸ μὴ εἶναι, τίς δε, ἡ εἰς τὴν ἀντικειμένην ἀπόφασιν, καθάπερ ἐλέχθη καὶ ἐπὶ τῆς γενέσεως. Εἰ δὴ τὸ μὴ ὂν λέγεται πλεοναχῶς, καὶ μήτε τὸ κατὰ σύνθεσιν ἢ διαίρεσιν ἐνδέχεται κινεῖσθαι, μήτε τὸ κατὰ δύναμιν, τὸ τῷ ἁπλῶς κατ' ἐνέργειαν ὄντι ἀντικείμενον. τὸ μὲν γὰρ μὴ λευκόν, ἢ μὴ ἀγαθόν, ὅμως ἐνδέχεται κινεῖσθαι κατὰ συμβεβηκός (εἴη γὰρ ἂν ἄνθρωπος τὸ μὴ λευκόν), τὸ δ' ἁπλῶς μὴ τόδε, οὐδαμῶς· ἀδύνατον γὰρ τὸ μὴ ὂν κινεῖσθαι. εἰ δέ τοῦτο καὶ τὴν γένεσιν (ενν. ἀδύνατον) κίνησιν εἶναι· γίνεται γὰρ τὸ μὴ ὄν. εἰ γὰρ καὶ ὅτι μάλιστα κατὰ συμβεβηκὸς γίνεται, ἀλλ' ὅμως ἀληθές εἰπεῖν ὅτι ὑπάρχει τὸ μὴ ὂν κατὰ τοῦ γινομένου ἁπλῶς. Ὁμοίως δὲ καὶ τὸ ἠρεμεῖν. Ταῦτά τε δὴ συμβαίνει δυσχερῆ τῷ κινεῖσθαι τὸ μὴ ὄν. Καὶ εἰ πᾶν τὸ κινούμενον ἐν τόπῳ, τὸ. δὲ μὴ ὂν οὐκ ἔστιν ἐν τόπῳ· εἴη γὰρ ἄν που. Οὐ δὲ δὴ ἡ φθορὰ κίνησις· ἐναντίον μὲν γὰρ κινήσει ἢ κίνησις ἢ ἠρεμία, ἡ δέ φθορὰ γενέσει ἐναντίον.»

22) Φυσ. Γ'. β'. 201 β. 27. «Τοῦ δὲ δοκεῖν ἀόριστον εἶναι τὴν κίνησιν, αἴτιον ὅτι οὔτε εἰς δύναμιν τῶν ὄντων, οὔτε εἰς ἐνέργειάν ἐστι θεῖναι αὐτὴν ἁπλῶς· οὔτε γὰρ τὸ δυνατὸν ποσόν εἶναι κινεῖται ἐξ ἀνάγκης, οὔτε τὸ ἐνεργείᾳ ποσόν, ἥ τε κίνησις ἐνέργεια μέν τις εἶναι δοκεῖ, ἀτελὴς δὲ. Αἴτιον δ' ὅτι ἀτελὲς τὸ δυνατὸν οὗ ἐστιν ἡ ἐνέργεια· καὶ διὰ τοῦτο δὴ χαλεπὸν αὐτὴν λαβεῖν τί ἐστιν· ἢ γὰρ εἰς στέρησιν ἀναγκαῖον θεῖναι, ἢ εἰς ἐνέργειαν ἁπλῆν· τούτων δ' οὐδὲν φαίνεται ἐνδεχόμενον. Λείπεται τοίνυν ὁ εἰρημένος τρόπος ἐνέργειαν μέν τινα εἶναι, τοιαύτην δ' ἐνέργειαν οἵαν εἴπαμεν, χαλεπὸν μὲν ἰδεῖν, ἐνδεχομένην δ' εἶναι.»

23) Φυσ. Ε'. β'. 226 α. 26 «ἡ μὲν οὖν κατὰ τὸ ποιὸν κίνησις ἀλλοίωσις ἔστω .... ἡ δέ κατὰ τὸ ποσὸν τὸ μὲν κοινὸν ἀνώνυμον, καθ' ἑκάτερον δὲ αὔξησις καὶ φθίσις .... ἡ δὲ κατὰ τόπον καὶ τὸ κοινὸν καὶ τὸ ἴδιον ἀνώνυμα, ἔστω δὲ φορὰ καλουμένη τὸ κοινόν» ὅρ. καὶ Η'. β. 243 α. 8 π. ψυχ. Α'. γ'. 406 α. 12 Μετ. Ν. α'. 1088 α. 30.

24) Φυσ. Θ'. ζ'. 260 α. 27 κ. ε. «ἀδύνατον γὰρ αὔξησιν εἶναι ἀλλοιώσεως μὴ προϋπαρχούσης.»

25) Ἐκ τούτων δὲ φανερὸν ὅτι ἁρμονικώτατα ἔχει τὰ περὶ τῆς ὕλης αὐτῷ ἐκτεθειμένα, ὅτι δεῖ ὑποκεῖσθαί τι ὂν· ἄμορφον, ἄποιον· οὐ μόνον δ' ἐκ τῶν εἰρημένων τὸ ὑποκείμενον τοῦτο πρϋπάρχειν δεῖ, ἀλλά πως καὶ ἐν κινήσει· ἀνάγκη γὰρ εἶναι τὴν πρώτην κίνησιν ἐξ ἧς πᾶν τὸ γιγνόμενον. Ἐπεί, εἰ μὴ ὑπῆρχον ἡ πρώτη καὶ κοινὴ ὕλη, εἶτα δ' ἡ πρώτη κίνησις, πῶς ἂν ἦσαν αἱ λοιπαί; κατωτέρω δ' ὀψόμεθα, ὅτι οὐ μόνον ἡ πρώτη κίνησις ἡ ἀτελὴς καὶ

δὲ ὄντως· κίνησις δ' οὐδὲ τὸ παράπαν λεχθήσεται. Ὡσαύτως δὲ τὸ ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, ἁπλῶς μὲν μεταβολὴ κληθήσεται, οὐκ ἔσται δὲ κίνησις, ὑποτιθεμένης δὲ τῆς πρώτης κινήσεως, καὶ ὑποκειμένου τινὸς ἐν ᾧ αὕτη, ἔσται κίνησις, εἰ δὲ τοῦτο καὶ μεταβολή, ἀλλ' οὐχ ἁπλῶς ἐξ οὐχ ὑποκειμένου εἰς ὑποκείμενον, οὐδ ἐξ ὑποκειμένου εἰς ἁπλῶς οὐχ ὑποκείμενον καὶ παντάπασιν οὐκ ὄν, ἀλλὰ τρόπον τινὰ οὐκ ὄν, ἀληθῶς δ' ὄν τι. Ἔσται δὲ τόδε· ἐξ ὑποκειμένου μὲν καὶ ὡρισμένου εἰς ὑποκείμενον ἀόριστον καὶ οὐ τόδε τι, κίνησις καὶ μεταβολὴ καὶ φθορὰ ἐξ οὐχ ὑποκειμένου δὲ οὐδὲ τόδε τι καὶ ἀορίστου, εἰς ὑποκείμενον τὸ ὡρισμένον τόδε τι, ὡσαύτως κίνησις καὶ μεταβολὴ καὶ γένεσις. Οὕτως οὖν, ὡς ἡμῖν γε δοκεῖ, δεδικαίωται ὁ Ἀριστοτέλης· ἐν γὰρ τῇ φυσ. Ἀκρ. περὶ τῆς ἁπλῆς γενέσεως καὶ φθορᾶς ὁ λόγος, ἐν δὲ ταῖς κατηγορίαις περὶ τῆς πρὸς τὸ εἶδος, ἐξ ὑποκειμένου ἀμόρφου, γενέσεως, καὶ τῆς ἐκ τοῦ εἴδους εἰς ταὐτὸ ὑποκείμενον φθορᾶς.

Ἀλλ' ἐκ τῶν τριῶν κεφαλαιωδῶν κινήσεων τίνι ἀποδοτέα ἡ τῆς φθορᾶς καὶ γενέσεως δυάς; μιᾷ γὰρ ἀδύνατον· ἐπεὶ ἦν ἂν ἢ ἀλλοίωσις μόνον, ἢ κατὰ τόπον μεταβολή, ἢ φθίσις καὶ αὔξησις, οὐδ' ἀνάγκη ἦν ἰδίᾳ αὐτὴν ἀπαριθμῆσαι. Ἀλλ' ἆρα μὴ δυοῖν ἢ καὶ ἁπάσαις; τοῦθ' ὧδε οὐ διώρισται, δοκεῖ δὲ πάσας ἐν τῇ δυάδι ταύτῃ εἶναι· τὴν γὰρ πρώτην ἐξ ἀνάγκης δεῖ εἶναι, ὡσαύτως δὲ τὴν ἀλλοίωσιν, ἅμα δὲ φθίσιν καὶ αὔξησιν· πλήν γε μὴν τούτων, καὶ ἠρεμία ἐν ταῖς γενέσεσι καὶ φθοραῖς, καὶ κινήσεις κατὰ συμβεβηκός· ταῦτα οὐκ ἐξηκρίβωται. Ἐπεὶ δ' ἔστι ταῦτα, καὶ παρὰ τὰς τρεῖς καὶ αὗται, καὶ ταύτας ταῖς λοιπαῖς συναριθμῆσαι αὐτῷ ἔδοξεν ἐν ταῖς κατηγορίαις. Διὸ ἄλλοθι ζητητέον[26]). Δοκεῖ μέντοι τῆς οὐσίας ταύτας εἶναι κινήσεις καὶ μεταβολάς· τοῦτο δὲ δῆλον ἐκ τῆς Μεταφυσικῆς[27]), φησὶ γάρ. «Εἰ δὴ αἱ μεταβολαὶ τέσσαρες, ἢ κατὰ τὸ τί, ἢ κατὰ τὸ ποιόν, ἢ ποσόν, ἢ ποῦ· καὶ γένεσις

ἀόριστος, ἀλλὰ καὶ ἡ ἐμμονὴ ταύτης ἡ φορά, καὶ ταύτης τὸ τέλειον εἶδος ἡ κυκλική, ἱκανὰ πρὸς γένεσιν, ἀλλὰ καὶ ἑτέρου τινός, ἢ καὶ πλειόνων χρεία.

26) Ἀνασκοπῶν τις ὅτι γένεσις καὶ φθορὰ πρὸς οὐσίαν μόνον οὐκ ἂν ἀπεικότως, ὡς τελευταίας κινήσεις καὶ τρόπον τινὰ συμπέρασμα τῶν τριῶν, οὐ μέντοι καὶ πρώτας τὴν γένεσιν καὶ φθορὰν ἐκλάβοι, καὶ ἔσονται ἄμφω τῆς οὐσίας κινήσεις, καὶ τετάρτη κίνησις ἡ κατ' οὐσίαν ἔσται ἄρα αὕτη, καθ' ἃ ἐν Φυσ. Γ'. α'. εἴρηται ὅτι πᾶν τὸ μεταβάλλον τετραχῶς μεταβάλλει. Τούτοις δὲ συνηγορεῖ καὶ τὰ ἐν Μετ. Η. α'. 1042 β. 1 «ὁμοίως δὲ καὶ κατ' οὐσίαν, ὃ νῦν μὲν ἐν γενέσει, πάλιν δ' ἐν φθορᾷ, καὶ νῦν μὲν ὑποκείμενον ὡς τόδε τι, πάλιν δ' ὑποκείμενον ὡς κατὰ στέρησιν.» Λέγομεν δὲ τελευταίας, ἐπεὶ τῷ ὄντι τῷ ἐντελεῖ ἀποδίδονται, καὶ ὡς συμπέρασμα τρόπον τινὰ τῶν προτέρων κινήσεων.

27) Μετ. Λ. β'. 1069 β. 9. Παράδοξον, πῶς ὁ Βόνιτσ οὐδένα περὶ τούτων λόγον ποιεῖται (μέρ. β'. σελ 472), φησὶ δὲ ὅτι τέσσαρα διακρίνει κινήσεως γένη «ut idem sit ac μεταβολή,» καὶ τούτου ἕνεκεν «latiore sensu hoc nomen usurpavit»!! λέληθε μὴν αὐτόν, ὡς δοκεῖ, ὅτι ἡ μεταβολὴ ἐπὶ πλεῖον ἂν λέγοιτο· καὶ γὰρ ἐκ τοῦ ἁπλῶς οὐκ ὄντως εἰς τὸ ὂν καὶ τἀνάπαλιν, οὐ μὴν καὶ κίνησις, καὶ ὅτι πᾶσα κίνησις μεταβολὴ ἔσται, οὐ μὴν καὶ πᾶσα μεταβολὴ κίνησις, ὡς εἴρηται.

μὲν ἡ ἁπλῆ καὶ φθορὰ ἡ κατὰ τόδε[28]), ἀλλοίωσις δὲ ἡ κατὰ τὸ πάθος[29]), φορὰ δὲ ἡ κατὰ τόπον, εἰς ἐναντιώσεις ἂν εἶεν τὰς καθ' ἕκαστον αἱ μεταβολαὶ» καὶ ἀλλαχοῦ κίνησιν αὐτῆς τῆς οὐσίας αὐτὰς καλεῖ, «κατὰ τὴν οὐσίαν ἡ ἁπλῆ γένεσις καὶ φθορά»[30]). Ὥστε καὶ τετάρτην ἀνάγκη εἶναι κίνησιν (εἴπερ μὴ ταὐτὸν ἡ κατὰ τὸ ποιὸν τῇ κατ' οὐσίαν κινήσει), τρεῖς δ' ὁ Ἀριστ. ἐν τῇ Φυσ. τέθεικε καὶ ἠρεύνηκεν· αὗται γὰρ πρῶται καὶ εἰλικρινεῖς καὶ τρόπον τινὰ πρότεραι τῇ γενέσει· Ἐν δὲ ταῖς κατηγορίαις ἐκθεὶς πάσας, περὶ ἀλλοιώσεως μόνον ποιεῖται λόγον, ὅτι ἐναντία καὶ αὕτη πάσαις, ὡς αὐταὶ ἀλλήλαις.

Καὶ ταῦτα μὲν δὴ ταῦτα περὶ κινήσεως ἱκανὰ ἡμῖν γε δοκοῦντα. Συγκεφαλαιοῦντες δὲ τὰ μέχρι τοῦδε ἡμῖν εἰρημένα, ἕξομεν πρῶτον μὲν καὶ κυριώτατα νοῦν ἐνεργείᾳ ὄντα καὶ ἀρχὴν ἀρχῶν, εἶτα δὲ ὕλην τὴν ὑποκειμένην καὶ δυνάμει οὖσαν, καὶ τρόπον τινὰ οὐκ ὄν, καὶ ἄμορφον, καὶ ἄποιον καὶ οὐ τόδε τι. Πρὸς τὸ γενέσθαι δε τόδε τι κινήσεως χρεία, καὶ ταύτης τοῦ πρώτου εἴδους, τῆς φορᾶς, ἐκ τοῦ πρῶτον κινοῦντος νοῦ, ἐξ ἧς πάντα τὰ λοιπὰ εἴδη τῶν κινήσεων, δι' ὧν κατὰ λόγον γίγνεται πάντα τὰ ὄντα, καὶ τοῦτο ἡ φύσις, τὸ σύνολον τῶν εἰδῶν, ἢ μᾶλλον εἰπεῖν, ἡ ἐκ τῶν διαφόρων κινήσεων ἐνέργεια πρὸς τὸ ἀποτελεῖσθαι τόδε ἢ ἐκεῖνο τὸ εἶδος. Ὡς δ' ἐν πίνακι ταῦτα οὕτως ἂν ἔχοι.

Ο Ν

ΕΝΑΝΤΙΟΤΗΤΕΣ.

Ὕλη,	οὐσία.
Δυνάμει,	ἐνεργείᾳ.
ἄμορφον,	εἰδοποιόν.
Οὐκ ὄν,	νοῦς.
ἠρεμοῦν δεκτικὸν κινήσεως,	κινοῦν ἀκίνητον.
τότι σῶμα,	τόδε τι, εἶδος.
τύχη, αὐτόματον,	οὗ ἕνεκα, ὡς ἐπὶ τὸ πολύ.
αὄριστον, ἄγνωστον,	ὡρισμένον.

ΦΥΣΙΣ.

Τὸ σύνολον, συνειλημμένον, σύνθετον, τὸ ἐξ ἀμφοῖν αἰσθητόν.
οὗ ἕνεκα, πρὸς τὸ βέλτιστον τέλος.

---

28) Ἁπλῆν φθορὰν ἐννοητέον ἐνταῦθα οὐ τὴν ἐξ οὐχ ὑποκειμένου ἁπλῶς, καὶ εἰς μὴ ὑποκείμενον ἁπλῶς, ἀλλά τὴν μὴ οὖσαν τόδε τι, γιγνομένην δὲ τόδε, πλὴν ἐξ ὑποκειμένου ἀποίου, εἰς ὃ αὖ διαλύεται φθειρόμενα τὰ ὄντα.

29) Κατὰ πάθος ἐνταῦθα τὴν κατὰ ποιὸν κίνησίν φησιν· ὅρ. π. γεν. κ. φθ. Α'. α'. 319 β. 10, ὅτε ὑπομένει ἡ οὐσία, μεταβάλλει δ' ἐν τοῖς πάθεσιν· καὶ Β'. δ'. 331 α. 9 «κατὰ γὰρ τὰ τῶν ἁπτῶν πάθη ἡ ἀλλοίωσίς ἐστιν.»

30) Μετ. Ν. α'. 1088 β. 33.

Κεφ. ι'.

Οὐσία ὑλική.

Ἐκ τῶν μέχρις ὧδε δῆλον ὅτι πρώτως καὶ μάλιστα οὐσία μία καὶ προτέρα πάντων, ὕστεραι δὲ πᾶσαι αἱ φύσει μορφαί, ἐν τῇ πρώτῃ τὴν ἀρχὴν ἔχουσαι· ἐκ ταύτης γὰρ ἡ κίνησις, ἧς ἄνευ οὐδὲν γίγνεται. Τρίτον δὲ ἡ ὕλη οὐκ οὖσα οὐσία, ἀλλὰ δεκτικὴ οὐσίας. Ἐπεὶ δέ που καὶ ἡ ὕλη οὐσία κέκληται, καὶ τέναγος τοῦτο κατέστη πολλοῖς, ἴδωμεν εἰ τοῦ κυβερνήτου τοῦτο τὸ ἁμάρτημα, καὶ μὴ ἐρετῶν οὐ πάνυ καλῶς τὰ προστάγματα αὐτοῦ συνιέντων.

Καὶ πρῶτον μὲν ἔνθα τρεῖς οὐσίας τιθησιν ὁ Ἀριστ. φθαρτήν, αΐδιον, καὶ ἑτέραν ἀκίνητον[1], οὐ τὴν πρώτως καὶ κυριώς τίθησιν, ἀλλὰ ποσαχῶς λέγονται καὶ ὁμολογοῦνται αἱ οὐσίαι. Αὐτὴ δὲ ἡ περαιτέρω ζήτησις δείκνυσιν ὅτι μία ἡ οὐσία πρώτως, καὶ ἀρχὴ πασῶν τὸ πρῶτον κινοῦν, ἡ δὲ ὕλη δυνάμει καὶ οὐκ οὐσία, τὸ δὲ σύνολον οὐσία κατὰ τὸ εἶδος, καὶ οὐ κατὰ τὴν ὕλην· αὕτη γὰρ πᾶσιν ὑπόκειται τοῖσδε τοῖς εἴδεσι τοῖς ἐκ τοῦ πρώτου κινοῦντος[2]. Πλὴν τί φῶμεν πρὸς τὰ κατωτέρω εἰρημένα «οὐσίαι δὲ τρεῖς ἡ μὲν ὕλη τόδε τι οὖσα τῷ φαίνεσθαι (ὅσα γάρ ἐστιν ἁφῇ καὶ μὴ συμφύσει ὕλη καὶ ὑποκείμενον), ἡ δὲ φύσις καὶ τόδε τι εἰς ἥν καὶ ἕξις τις· ἔτι τρίτη ἡ ἐκ τούτων, ἡ καθ' ἕκαστα οἷον Σωκράτης ἢ Καλλίας»[3]; Φαμὲν οὖν ὅτι οὐδὲ τὸ παράπαν δυσχέρεια ἐν τοῖσδε ἔνεστιν. Ἐπεὶ πρῶτον μὲν πᾶν μεταβάλλον ὑπό τινος μετα-

---

1) Μετ. Λ. α'. 1069 α. 30. «Οὐσίαι δὲ τρεῖς, μία μὲν αἰσθητή, ἣν πάντες ὁμολογοῦσιν, ἧς ἡ μὲν φθαρτή, οἷον τὰ φυτὰ καὶ τὰ ζῷα, ἡ δ' ἀΐδιος, ἧς ἀνάγκη τὰ στοιχεῖα λαβεῖν εἴτε ἓν εἴτε πολλά· ἄλλη δ' ἀκίνητος, καὶ ταύτην τινὲς εἶναί φασι χωριστήν, οἱ μὲν εἰς δύο διαιροῦντες, οἱ δὲ εἰς μίαν φύσιν τιθέντες τὰ εἴδη καὶ τὰ μαθηματικά, οἱ δὲ τὰ μαθηματικὰ μόνον τούτων.» Οὕτως ὁ Ἀλέξανδρος καὶ ὁ Θεμίστιος, ἄλλως ἀκατανόητον τὸ χωρίον. ὅρ. Βόνιτσ. μέρ. β'. σελ. 471, καὶ Ζ. β'. 1028 β. 24. Μ. θ'. 1086 α. 2. κ. ε.

2) Ὅτι ὁ Ἀριστ. αὐτόθι καὶ ὕλην ἀΐδιον, ἀλλὰ κατὰ τόπον κινητὴν καὶ «οὐ γεννητήν, ἀλλὰ πόθεν ποῖ» (Μετ. Λ. β'. 1069 β. 26.) τίθησιν, οὐδὲν δ' ἐπ' ἀκριβείας εἴρηκε, τοῦτο δόξα μᾶλλον αὐτοῦ ἐπιχειροῦντος τὴν φύσιν τῶν οὐρανίων σωμάτων ἐξερευνᾷν, ἢ καὶ πήρωσίς τις τῇ διδασκαλίᾳ αὐτοῦ· τὸ δέ, «τριχῶς τὸ μὴ ὄν» οὕτως ἑρμηνευτέον· οὐκ ὄν, ως ὕλη, καὶ οὐ τόδε τι· οὐκ ὂν δεύτερον καθὸ στέρησις καὶ ἁπλῶς οὐκ ὄν, τρίτον δὲ τὸ εἶδος τρόπον τινὰ οὐκ ὄν, μὴ συνειλημμένον τῇ ὕλῃ ὄν· ἢ τὸ ἄμορφον καὶ ἄλλως ἔχον αἰσθητὸν πρὸς τὸ γενησόμενον. Ὡς οὖν τὸ οὐκ ὂν τριχῶς λέγεται, τί κωλύει και τὴν οὐσίαν τριχῶς λέγεσθαι, τὸ εἶδος, τὴν ὕλην, καὶ τὸ σύνολον; οὐδὲν ὡς δοκεῖ· ἀλλὰ πρῶτον καὶ κυρίως τὸ εἶδος καὶ ἔστι καὶ λέγεται. Εἰ δὲ τὸ τριχῶς οὐκ ὄν, ὡς ἑξῆς ἐκλάβοιμεν, πρῶτον μὲν ὡς στέρησιν παντελῆ, δεύτερον δὲ ὡς οὐκ ὂν τόδε τι, τρίτον δὲ ὡς οὐκ ὂν τέχνῃ τόδε τι, καίτοι φύσει ὄν, ἕξει πως λόγον, ἴσως δὲ καὶ κάλλιον οὕτω τὸ χωρίον νοηθῆναι· ἐῶμεν δὲ τὸν Ἀλέξανδρον, καὶ Θεμίστιον καὶ Βόνιτσ, καὶ εἴ τιν' ἕτερον χαίρειν.

3) Μετ. Λ. γ'. 1070 α. 9.

βάλλει, τοῦτό δ' ἐστὶ τὸ πρῶτον κινοῦν, ἡ δ' ὕλη ἐνταῦθα μόνον μεταβάλλουσα καὶ παθητικὴ καὶ δεκτικὴ τοῦ εἴδους καὶ τῆς κινήσεως. Εἰ δὲ ταῦτα οὕτως ἔχει πῶς ἔσται ἡ ὕλη οὐσία; εἶτα δὲ τὸ εἰς ὃ μεταβάλλει, τὸ τόδε τι, καὶ τῆς ὕλης ὕστερον, πανταχοῦ μὴν οὐσία καλεῖται καὶ ἔστιν, οὐχὶ διὰ τὴν ὕλην, διὰ δὲ τὸ εἶδος, οὗ ἡ ἀρχὴ ἐν τῷ πρῶτον κινοῦντι, οὐσία. Ἐν τούτοις οὖν οὐκ ἔχει χώραν ἡ ὑλικὴ οὐσία. Πλὴν πῶς αὐτὴν οὐσίαν ὁ Ἀριστ. καλεῖ; Λέγομεν οὖν ὅτι οὐσίαν ὑλικὴν μόνον ἐν τοῖς ἀπὸ τέχνης ὁ Ἀριστοτέλης τίθησιν· περὶ ἀμφοτέρων γὰρ ὁ λόγος, φύσεως καὶ τέχνης[4]. Ὅτι δ' ὑλικὴ οὐσία τοῖς τέχνῃ γιγνομένοις ἀποδέδοται οὐ μόνον αὐτὰ τὰ ἐν παρενθέσει δηλοῖ, ἀλλὰ καὶ τὰ ἑπόμενα τῆς ἑτέρας συστοιχίας τῶν φύσει γιγνομένων[5], ἔτι δὲ φανερώτερον ἐκ τῶνδε. «Ἐπὶ μὲν οὖν τινων τὸ τόδε τι οὐκ ἔστι παρὰ τὴν συνθέτην οὐσίαν, οἷον οἰκίας τὸ εἶδος, εἰμὴ ἡ τέχνη»[6]. Ἐπὶ μὲν οὖν τοῖς τεχνητοῖς ἔσται οὐσία λεγομένη, ἀλλ' οὐσία οὐ καθ' αὑτὸ ἐν ἑαυτῇ ἀρχὴν κινήσεως ἔχουσα, ἀλλ' ἐν τῇ τέχνῃ, καὶ τρόπον τινὰ ὑλική, καὶ «ἄλλον τρόπον εἰσὶ καὶ οὔκ εἰσιν οἰκία τε ἡ ἄνευ ὕλης καὶ ὑγιεία, καὶ πᾶν τὸ κατὰ τέχνην»[7]. Ἄλλον τρόπον φησὶν ἔσονται οὐσίαι πᾶν τὸ κατὰ τέχνην, τίνα δέ; τοῦτ' οὐ πάμπαν ἀκριβῶς διώρισται· ὥς δ' ἐστὶν εἰκάσαι τοῦτον· ὅτι τὰ μὲν φύσει ἐν ἑαυτοῖς ἔχουσιν ἀρχὴν κινήσεως, τά δὲ τέχνῃ οὔ, ἀλλ' ἐν τῇ ψυχῇ τοῦ τεχνίτου, καὶ τὰ μὲν φύσει καὶ ἐνεργοῦντα καὶ πάσχοντα ἅμα, τὰ δὲ τέχνῃ μόνον πάσχοντα· Πάλιν, τὰ μὲν ἐξ ὑποκειμένου μέν, ἀλλ' οὐκ ὄντος τρόπον τινὰ καὶ ἀμόρφου, τὰ δὲ ἐξ ὄντων τόδε τι, ξύλου, ἢ λίθου, ἢ χαλκοῦ, καὶ τὰ μὲν ἐν ἑαυτοῖς ἔχοντα τὸ εἶδος καὶ τὴν μορφήν, τὰ δ' ἔξωθεν[8]. Τούτοις δὲ πᾶσι συνηγορεῖ καὶ ἡ δόξα, ὅτι τῶν σωμάτων, τὰ φυσικὰ μάλιστα οὐσίαι, ὡς πρότερον εἴρηται, ἁρμονικώτατα καὶ πρὸς τὸ ἐνταῦθα εἰρημένον, «ἀλλ' εἴπερ ἐπὶ τῶν φύσει. Διὸ δὴ οὐ κακῶς ὁ Πλάτων ἔφη ὅτι εἴδη ἐστὶν ὁπόσα φύσει»[9]. Ἐκτὸς δὲ τούτων ἁπάντων δοκεῖ πως καὶ αὐτὸ τό, «τῷ φαίνεσθαι» συνηγορεῖν· ἀλλὰ τοῦτο καὶ ἐπὶ τῶν

---

4) 1070 α. 6. «ἡ μὲν οὖν τέχνη ἀρχή ἐν ἄλλῳ, ἡ δὲ φύσις ἀρχὴ ἐν αὐτῷ . . . . οὐσίαι δὲ τρεῖς . . .»

5) 1070 α. 10. Ἰστέον ὅτι τὰ οἱονεὶ σωρός, τὰ ἁφῇ καὶ οὐ συμφύσει ὄντα δηλοῖ.

6) Αὐτόθι. 13 και Δ. δ'. 1014 β. 22 «διαφέρει δὲ σύμφυσις ἁφῆς· ἔνθα μὲν γὰρ οὐθὲν παρὰ τὴν ἁφὴν ἕτερον ἀνάγκη εἶναι, ἐν δὲ τοῖς συμπεφυκόσιν ἔστι τι ἓν τὸ αὐτὸ ἐν ἀμφοῖν, ὃ ποιεῖ ἀντὶ τοῦ ἅπτεσθαι συμπεφυκέναι καὶ εἶναι ἓν κατὰ τὸ συνεχὲς καὶ ποσόν, ἀλλά μὴ κατὰ τὸ ποιόν.»

7) αὐτόθ. στ. 15.

8) Ἄλλον τρόπον δοκεῖ εἶναι καὶ τέχνη πρὸς τέχνην, οἷον τεκτονικὴ πρὸς ἰατρικήν, ἀλλ' ἐπέχομεν· οὐ γὰρ ὅτι ἂν ἡμῖν δόξῃ ἐκθεῖναι προτιθέμεθα, ἀλλ' ὅτι αὐτῷ τῷ Ἀριστοτέλει, εἰ δὲ καὶ αὐτῷ ἐν ἑτέροις τόποις περὶ τούτων εἴρηται καὶ μέχρι τίνος, ταῦτα οὐ τῆς παρούσης πραγματείας, καὶ πολυπραγμανοῦντος.

9) Εἰ ὁ Αριστ. καθ' ἑαυτὰ τὰ εἴδη φησὶν ἐνυπάρχοντα, ἢ τὴν ἀρχήν ἐν μιᾷ πρωτίστῃ ἀρχῇ ἔχουσιν, εἴρηται, ἴσως δὲ καὶ ἐκτενέστερον ἐ ἄλλῳ τόπῳ ῥηθήσεται.

φύσει ἂν ῥηθείη· ὡς γὰρ τὰ τέχνῃ φαίνονται μὲν οὕτως, ἡ δ' οὐσία καὶ τὸ τέλος καὶ ἡ ἀρχὴ τῆς κινήσεως ἑτέρα καὶ ἐν ἄλλῳ, οὕτω καὶ τὰ φύσει, φαίνονται μὲν τόδε τι, οὐ μέν τοι τοῦτο ἡ οὐσία, καὶ τὸ τὶ ἦν εἶναι ἂν εἴη [10]). Καὶ τοῦτο μὲν ἔχει πως λόγον, ἀλλ' ἐνταῦθα οὐχ ὁ λόγος περὶ τῶν φύσει οὐσιῶν, μόνον δὲ περὶ τῶν τέχνῃ, ὡς κατωτέρω ἡ ἀντίθεσις δείκνυσιν «ἐπὶ μὲν οὖν τινων . . . .» [11]).

Τούτων οὖν οὕτως ἐχόντων, θαῦμ' ἡμᾶς ἔχει, πῶς ἄν τις σπεύδων ἀντίφασιν τοῦ Ἀριστοτέλους καταγνοίη, νῦν μὲν ἰσχυριζομένου ὅτι ἡ ὕλη οὐδεπώποτε οὐσία ἂν εἴη, εἰ δὲ καὶ λέγοιτο, οὐ μέν τ' ἂν καὶ ὄντως εἴη, νῦν δὲ οὐσίαν αὐτὴν τιθέντος [12]). Ἀλλ' ὅμως κάλλιον ἡμῖν δοκεῖ τὴν ἀπορίαν λύεσθαι, εἰ σκοποῖμεν ὅτι ὑλικὴ οὐσία παρὰ τῷ Ἀριστ., ὥς ἐστιν, ἐκ τοῦ ζ'. κεφ. τοῦ Θ καὶ τοῦ β'. τοῦ Μ τῆς Μεταφυσικῆς, εἰκάσαι, πᾶν τὸ ὑποκείμενον τῷ τεχνίτῃ ὡς ὕλη πρὸς τὸ ποιῆσαι τόδε τι τὸ τεχνητόν. Οὐσία μέντοι φύσει πρὸς τὸ γεγενημένον, οὐ μὴν καὶ τέχνῃ πρὸς τὸ γενησόμενον· εἴτε γὰρ ξύλον, εἴτε χαλκός, εἴτε ἄλλο τι οὐσίαι εἰσίν, πρὸς δὲ τὴν τέχνην ὕλη. Ὡς δ' οὐσίαι ἐν τῇ τοῦ τεχνίτου διανοίᾳ τὴν ἀρχὴν ἔχουσαι καὶ γιγνόμεναι καλοῦνται ἐκείνινον, οἷον ξύλινον, λίθινον, χαλκοῦν καὶ τὰ τοιαῦτα [13]).

---

10) Ὅρ. ὅσα περὶ τοῦ τὶ ἦν εἶναι καὶ τῆς οὐσίας ἐλέχθησαν.

11) Οὐδόλως τῷ Βόνιτσ συμφωνοῦμεν φάσκοντι «Sed addit certe quod eam definitionem laxet quodammodo et excuset, τῷ φαίνεσθαι, i. e. materia, non revera, set imaginationi tantum est, τόδε τι, quoniam potentiam habet τοῦ γίγνεσθαι τόδε τι.» Οὔτε γὰρ περὶ δυνάμεως, οὔτε περὶ οὐσίας καθ' αὐτὸ ὁ λόγος, ἀλλὰ περὶ οὐσίας καθόλου κατά τε τέχνην καὶ φύσιν. Καὶ τῇ μὲν φύσει ἀποδίδοται ἡ ἕξις πρὸς τὸ γενέσθαι τόδε τι, δηλ. τὸ εἶδος ἡ καθ' αὐτὸ οὐσία καὶ τὸ συνειλημμένον Καλλίας ἢ Σωκράτης, συνῳδὰ τῇ αὐτοῦ διδασκαλίᾳ, τῇ δὲ τέχνῃ οὐσία μὲν ἐν τῇ διανοίᾳ τοῦ τεχνίτου, καὶ ὑλικὴ οὐσία, ἀλλ' ἄλλον τρόπον· οὐ γὰρ ἐν αὐτῷ ἡ κίνησις. Καὶ δεύτερον δ' ἁμάρτημα ὁ Βόνιτσ ἡμαρτηκέναι δοκεῖ· φησὶ γάρ. «Exempla materiae α. 10.: ὅσα γάρ ἐστιν ἁφῇ καὶ μὴ συμφύσει, petita esse apparet e partibus corporis, quae nondum ad totius corporis formam, et unitatem coaluerunt: cf. Z. 16, 1040 β. 6.» (μέρ. β'. σελ. 476—77). Ἐκεῖ γὰρ (ἐν τῷ Z. τῆς Μετ.) περὶ μορίων μόνον ὁ λόγος, ὡς δοκούντων οὐσιῶν, ἐνταῦθα δὲ περὶ ὅλου τινός, καὶ οὐ τοῦδε ἢ ἐκείνου τοῦ μορίου τοῦ ὅλου· καὶ ἐκεῖ μὲν περὶ τῶν φύσει ὁ λόγος, ἐνταῦθα δὲ καθόλου περὶ τέχνης καὶ φύσεως.

12) Ἐν γὰρ τῷ Μετ. Z. οὐ μόνον ὅτι ἡ ὕλη αὐτὴ τὸ ἄμορφον, οὐκ ἔστιν οὐσία, ἀλλὰ καὶ τὰ μόρια αὐτὰ οὐσίας τινός, νῦν δὲ τοὐναντίον. Δίκαιος δὲ καὶ ὁ Τρενδελεμβούργ φάς· «Hoc autem τόδε τι, εἰ οὐσίας est nota et judicium, quomodo in materia informi (de hac autem agitur) deprehendatur difficile est intellectu.» γράφων γὰρ ταῦτα, οὐκ ἐτύγχανεν ἀναλογιζόμενος, ὅτι πολλὰ ἂν οὐσίαι καλοῖντο, οὐ μέντοι καὶ καθ' αὑτό εἰσιν, καὶ ὅτι ἐν τῷ Μ. Λ'. γ'. κ. ὁ λόγος περὶ ὄντων καθόλου φυσικῶν τε καὶ τεχνητῶν, ἅμα δ' ὅτι προηγούμενά τε καὶ ἑπόμενα, ὑπὲρ τῆς ἐν τοῖς τεχνητοῖς ὑλικῆς οὐσίας μαρτυροῦσιν (Τρενδ. π. ψυχ. σελ. 324—25).

13) Ὅτι οὐσία τις ἔσται δυνάμει πρὸς ἕτερόν τι γενησόμενον, ἐκ τῶν ῥηθέντων δῆλον, καὶ ὕστερον δ' ἐροῦμεν ἐν τῷ περὶ ἐντελεχείας.

Καὶ ταῦτα μὲν περὶ οὐσίας ὑλικῆς. Νῦν δ' εἰδότες ὅ,τί ποτ' ἔστιν οὐσία καὶ ὕλη καὶ στέρησις, ἅμα δ' ὅτι πρὸς τὸ εἶναι τι ἀνάγκη κίνησιν εἶναι, ταύτην δ' ἴσμεν φορὰν εἶναι τὴν πρώτην, καὶ ταύτης τὴν κυκλικὴν προτέραν, πάσας δὲ τὰς ἄλλας κινήσεις ἐκ ταύτης προϊούσας, ἴδωμεν πῶς ποτε τόδε τι συνέστηκε μάλιστα ἐν τοῖς φυσικοῖς καὶ μετέβαλεν ἕκαστον ἀπὸ τοῦ δυνάμει εἰς ἐντελέχειαν. Τοῦτο δ' ἐφικτὸν ἔσται, ἂν πρῶτον εἰδῶμεν, ὅ,τί ἐστιν ἐντελέχεια, πρῶτον τὰ πεπονημένα καὶ δόξαντα περὶ ταύτης καὶ ἄλλοις ἐπισκοπήσαντες.[14])

ΤΜΗΜΑ Β'.

Η ΕΝΤΕΛΕΧΕΙΑ.

Κεφ. ια'.

Ἡ ἑρμηνεία τῆς ἐντελεχείας.

§ 1. Εἴρηται ἀνωτέρω ὅτι ὁρισμός ἐστι λόγος ὁ τὴν οὐσίαν δηλῶν τοῦ πράγματος, τοῦτο δ' ἐστὶ τὸ εἶδος. Πρὸς τοῦτο πλὴν ἀνάγκη εἰδέναι τὰς διαφορὰς καὶ τούτων τὴν τελευταίαν λαβεῖν· ταύτης γὰρ ἕνεκα αἱ λοιπαί. Εἴρηται δ' ἅμα ὅτι οὐσία τὸ τὶ ἦν εἶναι καὶ τοῦτο δεῖ λαβεῖν, καὶ ὅτι ἐν τοῖς φύσει γιγνομένοις πρῶτον τὸ τὶ ἦν εἶναι. Εἰ οὖν περὶ ἀτόμου τινος εἴδους τῶν ζώων ἢ φυτῶν ἡ προκειμένη ζήτησις ἦν, τὴν τελευταίαν ὁμολογουμένως διαφορὰν λαβεῖν ἔδει, καὶ ὁρισμὸν κατασκευάζειν τόδε τὸ εἶδος ὡς οἷόν τε δηλοῦντα. Ἀλλ' ὁ δαιμόνιος ἐκεῖνος νοῦς ἐνορῶν ὅτι οὐχ ἱκανὸν τοῦτο (ὑπολείπεται γὰρ ζητεῖν τὴν πρώτην ἀρχὴν καὶ αἰτίαν ἐν τοῖς ζώοις), καὶ ἀνατρέχων εἰς τὰς πρώτας γενέσεις, καὶ διορῶν ὁμοίαν τινὰ ἐνέργειαν καὶ ζωτικὴν δύναμιν παρασκευάζουσαν ὀργανικῶς καθ' ἕκαστον, χαίρειν ἐᾷ τὸ καθ' ἕκαστον σὺν τῇ ἰδίᾳ καὶ μεγίστῃ διαφορᾷ, καὶ ἀνερχόμενος εἰς τὸ καθόλου γένος, ζητεῖ ἐκεῖ τὸν κοινὸν πᾶσι τοῖς εἴδεσιν ὑποκείμενον λόγον. Ἀλλὰ κἀκεῖ ἀνερευνῶν καὶ διαβλέπων ὅτι μορφοῦταί τι καὶ αὔξει ὀργανικῶς, ὄργανα δὲ καὶ τοῖς φυτοῖς πάρεστιν, εἰς ἀνώτερον γένος ἄνεισι, καὶ ἵσταται, καὶ διακρίνει πάντα τὰ ὄντα εἰς δύο συστοιχίας, τό τε ὀργανικὸν καὶ τὸ ἀνόργανον. Ἐνταῦθα δή, τὴν τεράστιον αὐτοῦ ἐμπειρίαν ἐπίκουρον συμπαραλαβών, καὶ ἀνασκοπῶν ὅτι οὐδὲν ἡ φύσις μάτην ποιεῖ, ἀλλὰ τέλος τι καὶ δὴ τὸ βέλτιστον παντὶ τῷ φυομένῳ πρόκειται, ἰδίᾳ τοῖς φυτοῖς

---

14) Ὅτι τὰς αὐτὰς ἀρχὰς καὶ αἰτίας ὁ Ἀριστοτέλης καλεῖ, εἴρηται πρότερον. Σημειωτέον δ' ὡς ἐν παρόδῳ, ὅτι τὰς αὐτὰς ἀρχὰς καὶ στοιχεῖα καλεῖ, τὰ γὰρ αὐτὰ στοιχεῖα ἔσονται καὶ ἀρχαί· διαφορὰ δὲ δοκεῖ, τὸ τιθέναι στοιχεῖα τὴν πρώτην τριάδα, εἶδος, ὕλην, στέρησιν· προστιθεὶς δὲ καὶ τὴν κίνησιν, ἀρχὰς αὐτὰς καὶ αἰτίας καλεῖ ἐν Μετ. Λ. δ'. 1070 β. 25. Διαφωνία δὲ δοκεῖ ἐν τῷδε, ὅτι ἐνταῦθα καὶ τὴν στέρησιν ὡς ἀρχὴν τίθησιν, ἀλλαχοῦ δὲ τὸ οὗ ἕνεκα, ὅπερ ἐνταῦθα ἐν τῷ εἴδει περιλαμβάνεται.

καὶ τοῖς ζώοις, καὶ μᾶλλον τοῖς ζώοις· εἰ δ' ἡ φύσις τὸ τέλος καὶ πᾶν τὸ φυόμενον τέλος τι ἕξει ἢ ἕξιν τινὰ πρὸς τὸ τέλος, πρὶν δ' ἢ τὴν ἕξιν σχῇ, δυνάμει ἔσται πάντα, ἢ πολλὰ καὶ ἀόριστα· ταῦτα φαμὲν διασκοπούμενος εἰς ἔτι ἀνώτερον γένος ἀνίπταται, τὸ ἐντελὲς ὄν, οὗ ἡ ἐναντία συστοιχία τὸ δυνάμει ὄν, τὸ μηδεμίαν ἕξιν ἔχον ἀλλὰ στέρησιν. Κατὰ ταῦτα οὖν γένος ἀνώτατον τῶν ὄντων ἡ ἐντελέχειά ἐστιν, εἴδη δ' αὐτῆς τά τε ὀργανικὰ καὶ τὰ ἀνόργανα, μεγίστη δὲ διαφορὰ αὐτῶν, τὸ ὀργανικόν, ἐν μὲν τοῖς ζώοις καὶ φυτοῖς ἕξις, ἐν δὲ τῇ ἑτέρᾳ συστοιχίᾳ στέρησις, ὃ καὶ τὸ ὄνομα αὐτὸ δηλοῖ, τὸ ἀνόργανον. Ἐπεὶ δ' ἀμφότεραι αἱ συζυγίαι τῶν φύσει γιγνομένων καὶ σώματα, τῶν δὲ σωμάτων τὰ μὲν συγκρίσει ἁπλῇ καὶ τρόπον τινὰ ἄμορφα· οὐ γὰρ ὡρισμένον εἶδος αὐτοῖς, ἀλλ' ἄλλοις ἄλλα, καὶ ἄλλως ἐν διαφόρῳ τόπῳ καὶ χρόνῳ, καὶ μᾶλλον ὡς ὕλη καὶ ὑποκείμενον πρὸς ἕτερα ὄντα, τὰ δὲ πρός τι τέλος κατὰ σταθερούς τινας νόμους γιγνόμενα, καὶ συνεχῶς μὴ διαλείποντα, ἀλλ' ἀεὶ ὑφιστάμενα ταὐτὰ καὶ ἐκ τῶν αὐτῶν κατ' οὐσίαν· τὴν ἐν τούτοις εἰδοποιὸν δύναμιν καὶ ἀρχήν, ψυχὴν παραλαβὼν κεκλημένην, ταύτην ἔρχεται ὁρίσαι. Οὐκ ἂν λάθοι δ' ἡμᾶς ὡς ἐν παντὶ ὁρισμῷ τό τε πρῶτον καὶ ἀνώτατον γένος ληπτέον, καὶ τὸ τί ἦν εἶναι καὶ τὴν πρώτην καὶ μεγίστην διαφορὰν ἐπὶ τῶν ὡς εἴδους γενῶν. Γένος μὲν οὖν δέδεικται ἡ ἐντελέχεια ὄν, τὸ δὲ τί ἦν εἶναι ἡ φύσις αὐτή· τοῦτο γὰρ τὸ πρῶτον κινοῦν, πρώτη δὲ καὶ μεγίστη διαφορὰ καὶ κατὰ πάντων τῶν εἰδῶν κατηγορουμένη, τὸ ὀργανικόν. Τούτων οὖν οὕτως ἐχόντων τίς, μὴ εἰς τοσοῦτον εὐηθείας ἐληλακώς, οὐκ ἂν δύναιτο ὁρίσαι, ἢ τοὐλάχιστον τὸν ὁρισμὸν τῆς τοιαύτης ἐν τοῖς οὖσιν ἐνεργείας καταμαθεῖν; Ἀλλὰ κατασκευάζειν μὲν τι ὅλον ἐκ τῶν προπαρεσκευασμένων ἤδη καθ' ἕκαστον, οὐ πάνυ δυσχερές, τὸ δὲ καταμαθεῖν τὸ ὅλον, καὶ τά τε καθ' ἕκαστον καὶ τὸ ὅλον ἐπίστασθαι οὐ ῥάδιον.

Ἐπεὶ δὲ πολλοῖς καὶ σπουδαίοις ὁ περὶ ψυχῆς τοῦ Ἀριστοτέλους ὁρισμὸς πράγματα παρέσχε καὶ μάλιστα ἡ ἐν αὐτῷ ἐντελέχεια, περὶ ταύτης πρῶτον ἔστω ὁ λόγος· ἴσως μὲν γὰρ ἀληθὲς ὅτι δυσχερὲς τὸ πρᾶγμα, ἴσως δὲ καὶ οὐ τοσοῦτον ὅσον τισὶν ἔδοξεν· ἐπεὶ πρὸς μὲν τοὺς τὰ πρὸς τοῦτο ἀναγκαῖα εἰδότας, οὐ πάνυ τοι δυσχερές, εἰκότως δὲ τοῖς μὴ περὶ τὰ τοιαῦτα ἐμπείροις μεγάλην τινὰ καὶ ἀνυπέρβλητον δυσχέρειαν παρασκευάσαι.

§ 2. Πρόκειται οὖν ἡμῖν ἡ ψυχὴ οὖσα, ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ. Ἐπεὶ δ' ἐντελέχεια πρώτη λέγεται, ζητήσωμεν πρῶτον τί ἐστιν ἐντελέχεια, εἶτα δὲ τὶς ἡ πρώτη αὕτη. Ἀλλὰ πρὶν ἢ τοῦτο ποιήσωμεν, τὰ ὑπὸ τῶν προγενεστέρων περὶ αὐτῆς πεπονημένα ἔδοξεν ἡμῖν ἐπισκέψασθαι.

Τῶν μὲν οὖν πάλαι γεγενημένων ὁ Πλούταρχος ἑρμηνεύει αὐτὴν ὡς **τελειότητα, τέλειόν τι** [1]). Ἀλέξανδρος δὲ ὁ Ἀφροδιστεύς, Δέξιππος, Πορφύριος, καὶ Σιμπλίκιος, καὶ Θεμίστιος, ὡς **τοῦ ἐντελεοῦς συνοχήν**, τὸ

---

[1]) Ὅρ. Ἀνσιϊὼν ἐν τῇ μνημ. συγγρ. σελ. 15. Ἄπορον δὲ πῶς ἀνωτέρω (σελ. 9) φησὶν ὅτι ὅ τε Πλούταρχος καὶ Ἡσύχιος τὴν ἐντελέχειαν ὡς ἐνέργειαν ἡρμηνευκότες τυγχάνουσιν.

ἐντελὲς ἔχειν [2]), ὁ δὲ Φιλόπονος, ὡς τὸ «παρὰ τὸ ἓν τέλειον ἔχειν» [3]). Πλὴν οὗτοι πάντες οὐκ ἐξηκριβωμένοι τὸ πρᾶγμα τυγχάνουσιν ὄντες, καὶ οὐκ ἐζητηκότες πόθεν καὶ πῶς εἰς τοῦτο ἥκει ὁ Ἀριστοτέλης, ὥστε καινόν τι ποιῆσαι ῥῆμα, καὶ εἰ ὀρθῶς ἢ οὒ ἐκ τῶν τεθειμένων αὐτῷ ἀρχῶν. Εἰ δὲ καὶ αὐτὰ ταῦτα τὰ μικρὰ γνῶσιν καὶ εἴδησιν τῆς τοῦ Ἀριστ. διδασκαλίας μαρτυροῦσιν, οὐ μέν τοι γ' ἱκανὰ πρὸς τὸ παρέχειν ἡμῖν ἀμετάπτωτον πίστιν καὶ βεβαιότητα [4]). Ὁ Σουΐδας αὖ, ὡς ἀρχὴν **ποιητικήν, εἰδικήν, τελικήν** [5]). Καὶ αὗται μὲν αἱ ἑρμηνεῖαι τῶν Ἑλλήνων ὑπομνηματιστῶν, τὰ μάλα ὀρθαὶ δοκοῦσαι. Ἐκ δὲ τῶν Λατίνων ὁ Κικέρων ὡς «συνεχῆ τινα κίνησιν καὶ ἀΐδιον» [6]). Ἀλλ' ἡ ἑρμηνεία αὕτη ἄρδην σφαλερά, καὶ δικαίως ὑπὸ πολλῶν ἐπολεμήθη. Ἐπεὶ ἡ ἐντελέχεια οὐ κινησίς τις ἁπλῶς, οὐδ' ἡ πρώτη· αὕτη γὰρ ἀτελής, ἀλλ' ὡρισμένη τις. Εἶτα κινήσεις, ὡς εἴρηται, πολλαί, τὶς οὖν τούτων; ἔτι ἐντελέχεια ἔσται καὶ ἠρεμοῦντος, καὶ κινουμένου ἀεὶ καὶ συνεχῶς, καὶ νῦν μὲν κινουμένου, νῦν δ' ἠρεμοῦντος, νῦν δ' οὕτως, ἄλλοτε δ' ἄλλως, τὶς οὖν τούτων; ἔτι, ἔστι κίνησις πρὸς τέλος τι, καὶ αὖ πρὸς οὐδὲν τέλος, ἀλλ' ἐκ τύχης ἢ ταὐτομάτου, καὶ αὗται δ' ἐνδελεχῶς ὅταν ὦσι, τίνων οὖν ἔσται ἡ ἐντελέχεια; Ταῦτα πάντα οὐδόλως ὁ σοφὸς Κικέρων ἀναλογισάμενος, προῆλθεν οἰόμενος τὸ φιλοσοφεῖν, οἷόν τι ῥητορικὸν βῆμα εἶναι, καὶ ἐξεῖναι πάντα λέγειν [7]). Καὶ ταῦτα μὲν οἱ ἀρχαῖοι, τοὺς δ' **ἐνέργειαν** ἁπλῶς ἢ **τελειότητα** [8]) τὴν ἐντελέχειαν ἑρμηνεύοντας, καὶ ἐπαναπαυομένους εἰς ταῦτα ἐῶμεν χαίρειν, καθὰ καὶ τὸν Μεσαίωνα μετὰ πάντων τῶν σχολαστικῶν καλουμένων, πρῶτον μὲν ὅτι πόρρω ἀπέχουσιν, εἶτα δέ, εἴ τι σπουδαῖον εἰρηκότες ἐτύγχανον, οὐκ ἂν ἄνδρας συνετοὺς περὶ τὰ τοιαῦτα διατρίψαντας ἀπέφευγεν, ἱκανόν δ' ἡμῖν εἰ ἐκπρεπέστεροι τῶν νεωτέρων σαφές τι περὶ τὸ ζητούμενον ἐκτεθείκασιν.

§ 3. Ὁ **Λάϊβνιτσ** νῦν μὲν ἑρμηνεύει τὴν ἐντελέχειαν «κατάστασιν πεφυκυῖαν ἐνεργεῖν [9]), ἂν μηδὲν κωλύῃ». Ἀλλὰ τοῦτό ἐστιν ἡ δύναμις,

---

[2]) Αὐτόθ. σελ. 16.

[3]) Αὐτόθι.

[4]) Εἰ δὲ τοῦτο πεποιήκασιν, οὐ μαρτυρεῖται δὲ ὑπὸ τῶν ἐντετυχηκότων ἡμῖν αὐτοὶ ἔστωσαν μομφῆς ἄξιοι.

[5]) Αὐτόθι σελ. 21.

[6]) «Continuatam quandam motionem et perennem.» Tusc. α'. 10. ὅρ. Θησ. Ἑρρίκ. Στεφ. ἐν τῇ ἐντελεχείᾳ.

[7]) Εἰ δ' ὡς φησιν ὁ Ἀνσιϊὼν ὁ Κικέρων ἐνδελέχειαν ἀνέγνω (σελ. 7) ἔδει ἀναζητεῖν εἰ ταὐτὸν ἐνδελέχεια ἐντελεχείᾳ, καὶ τὶς ἡ ἀληθὴς γραφή, καὶ λόγους προφέρειν δυναμένους καὶ ἡμᾶς πεῖσαι, ὅτι οὕτως ἔχει τὸ πρᾶγμα. Εἰ δὲ καὶ ταῦτα τοῦ Κικέρωνος τὰ ῥήματα ἔχει λόγον, ὥς τις τῶν γερμανῶν φιλοσόφων φησίν, περαιτέρω ἐροῦμεν. ὅρ. καὶ Τρενδελ. π. ψυχ. σελ. 319.

[8]) «actus, perfectio» ὅρ. Τρενδελ. π. ψυχ. 319. Σημειωτέον ὅτι τὸ μ. Ἐτυμολ. ἐνδελέχειαν σημειοῖ, ἐκ τοῦ ἐνδέχομαι, ἐνδέχεια καὶ προσθέσει τοῦ λε, ἐνδελέχεια. ὅρ. Ἀνσιϊὼν σελ. 23.

[9]) Τρενδ. π. ψυχ. σελ. 320 ἐν τῇ ὑποσ. «Un état dont l'action suit naturellement, si rien ne l'empêche.»

πεφυκυῖα γενέσθαι τι, ἄν μὴ τὸ κωλύον ᾖ, ὡς ὀρθότατα ὁ Τρενδελεμβούργ εἴρηκεν[10]), νῦν δὲ τελειότητά τινα, καὶ ταῖς μονάσιν ἑαυτοῦ ἀποδίδωσιν αὐτήν, καθαπερεὶ ἐνυπάρχουσαν ἐν αὐταῖς αὐτάρκειαν, δύναμίν τινα, ᾗ αἱ πηγαὶ τῶν ἐσωτερικῶν αὐτῶν ἐνεργειῶν, ὥσπερ ἐνσεσωματωμένα αὐτόματά εἰσιν[11]). Καὶ ταῦτα μὲν οὐ πάντη ξένα τῆς τοῦ Ἀριστ. διδασκαλίας, ὥς φησιν ὁ Τρρενδελεμβούργ[12]), οὐ μέντοι γε καὶ εἰλικρινῆ τοῦ Ἀριστ. δόγματα, ὅτι μὲν γὰρ πᾶν τὸ φυόμενον ἐντελὲς καὶ ἑαυτῷ αὔταρκες, καὶ εἰ μή τι ἐμποδὼν γένοιτο, ἔσται ἐνέργειᾳ τόδε τὸ φυσικὸν σῶμα, καὶ αὔξησιν ἕξει καὶ μορφὴν κατ' ἰδίους τινὰς νόμους, τοῦτο Ἀριστοτέλειον, ὅτι δὲ μονάδες, μονάδες δέ σύνθετοι, ἵν' ἀριστοτελικῶς εἴπωμεν, τοῦτο πλατωνισμοῦ πάλαι ὑπὸ τοῦ Ἀριστοτ. καταβεβλημένου ὄζει· ὁ γὰρ Ἀριστ. παντὸς γιγνομένου τὴν ἀρχὴν ἐν τῇ φύσει τίθησιν. Ταύτην δ' οὐχ ἑτέραν οὖσαν, ἢ τὴν ἐνέργειαν καὶ μετάβασιν ἀπὸ τοῦ δυνάμει εἰς τόδε τὸ αἰσθητὸν τῇ συνόδῳ ὕλης καὶ εἴδους· εἴδη δ' οὐ χωριστά, καὶ καθ' αὐτά, ἀλλ' ἐκ τοῦ πρώτου κινοῦντος ὡς ἐκ πηγῆς ἀπορρεύσαντα. Ἔστι μὲν οὖν ὡς ἀριστοτελικῶς εἴρηκεν, ἔστι δ' ὡς οὔ[13]).

Ὁ **Σέλλιγκ** νῦν μὲν ἀνερμήνευτον τὴν ἐντελέχειαν εἰσάγει[14]), εἶτα δ' αὖ ἐνέργειαν αὐτὴν καλεῖ[15])· πάλιν διαιρεῖ τὴν ψυχὴν εἰς ἁπλῶς νοητικὴν καὶ τὸ ὑπὲρ αἴσθησιν νοοῦσαν, καὶ νοητικὴν ἢ ἔμφρονα (verständig) καὶ τυφλῶς ἐνεργοῦσαν, καὶ αὐτοσχεδιάζων πως ταύτην κυρίως ἐντελέχειαν κλητέαν οἴεται[16]). Εἶτα πρώτην ἐντελέχειαν καλεῖ τὴν ἐξεγέρσεως χρήζουσαν ἐπιστήμην καὶ οἱονεὶ καθεύδουσαν[17]), πλὴν τοῦτο μᾶλλον τῇ δυνάμει ἐφαρμόζει· εἰ γὰρ τῆς ἐξεγέρσεως χρήζοι, πῶς ἂν εἴη ἐντελέχεια; ταῦτ' ἀσαφῆ κατέλιπεν ὁ σοφὸς Σέλλιγκ. Ἐκτὸς δὲ τούτων ἀκατάληπτον δοκεῖ πῶς τὴν ἐντελέχειαν ἐνέργειαν καλεῖ ἑτέρας ἀνωτέρας καὶ εἰς δύναμιν τελευτώσης, διὸ καὶ εἰς ἠρεμίαν ἅμα καὶ ἐνδελέχειαν καθισταμένης[18]), καὶ «οὕτως ἐστὶν ἡ ψυχὴ ἐνέργεια, ἀλλ'

---

10) Τρενδ. αὐτόθ. σελ. 321. «Talis status non tam ἐντελέχεια est, quam δύναμις ad ἐντελέχειαν vergens.»

11) «Nomen entelechiarum imponi posset omnibus substantiis simplibus, seu monadibus creatis. Habent enim in se certam quandam perfectionem (ἔχουσι τὸ ἐντελές), datur quaedam in iis sufficientia (αὐτάρκεια), vi cuius sunt actionum suarum internalium fontes quasi automata incorporea.» αὐτόθι.

12) «Quae ἐντελεχείας vis ab Aristotele plane aliena est» αὐτόθι.

13) Ὁ Ἀνσιϊών οὐ πάνυ δικαίως τοῦ Λάϊβνιτσ καὶ Δυβάλ κατηγορεῖ, ὡς μίγμα τι ἐξ ἑρμηνειῶν παρασκευασαμένων οὐδὲν ἐξακριβουσῶν· ἔστι γάρ πως, ὡς καὶ οὗτοι μόριόν τι τῆς ἀληθείας εἰρήκασιν.

14) Τῶν ἔργων αὐτοῦ μέρ. β'. τόμ. α'. σελ. 267.

15) Αὐτόθ. ἐκ τοῦ π. ψυχ. Β'. α'. «τὸ εἶδος ἐντελέχεια» φησίν. «Diesem (τῷ Ἀριστ.) ist das εἶδος actus.»

16) Αὐτόθ. σελ. 452.

17) Αὐτόθ. σελ. 453—54.

18) Αὐτόθ. σελ. 454 ἔνθ' οὐ περιοπτέαν φησὶ τὴν τοῦ Κικέρωνος ἑρμηνείαν, ὅτι ἡ ψυχή ἐστιν ἐνδελέχεια, Beständigkeit. Ἀληθες;

οὐχ ὡς ἐνέργεια, νοητική, πλὴν κατ' οὐσίαν, ὑλική, ἄνευ τοῦ συνειδέναι ἑαυτῇ νοητικῇ οὔσῃ»[19]). Τοῦτον δὲ τὸν τρόπον αὐτοσχεδιάζων χωρεῖ, καὶ περὶ τοῦ νοῦ λέγειν ἐπιχειρεῖ, καὶ φυσικὴν μὲν ψυχὴν καλεῖ τὸν παθητικὸν νοῦν, αὐτενεργὸν δὲ τὸν ποιητικὸν ἄνευ τῆς βοηθείας τῆς τοῦ Ἀριστ. φιλυσοφίας, ὡς αὐτὸς ὁμολογεῖ, ἀρκούμενος δὲ τῷ, ὅτι αὐτός, Αὐτός (τηλικοῦτος ὤν) εἴρηκέ πού τι[20]).

Ὁ **Βράνδις** ἀκριβέστερον ἐπεχείρησε τὰ περὶ ἐντελεχείας καὶ πρώτης ἐντελεχείας διορίσαι. Καὶ τὴν μὲν ἐντελέχειαν ἐνεργὸν δύναμιν ὡρισμένην φύσει πρὸς τὸ ζωογονεῖν πρῶτον αὐξήσει καὶ θρέψει, καὶ οὐκ ἐν κινήσει τὴν ἀρχὴν ἔχουσαν, ἀλλ' ἀρχὴν κινήσεως οὖσαν ἀπεφήνατο[21]). Ἐπικροτοῦμεν ὄντως καὶ χάριν τῷ ἀνδρὶ ὁμολογοῦμεν, ὡς φῶς διαχύσαντι καὶ κάλλιον τῶν ἄλλων τὴν διάνοιαν ἐπιστήσαντι, καί, ὡς οἷόν τε τῷ ἱστορίαν τῆς φιλοσοφίας συγγράφοντι, καλῶς πάνυ τὸ πρᾶγμα διηρμηνευκότι· εἰ δέ τι ὑπολείπεται, ἡμέτερον μᾶλλον δοκεῖ ἔργον εἶναι)· Περὶ δὲ τῆς πρώτης ἐντελεχείας, εἰ καὶ μὴ λίαν ἀκριβῶς, πλὴν λίαν καλῶς, καὶ συνεὶς τὸν Ἀριστοτέλη φανεροῦται· εἴρηκε γὰρ ὡς ἡ ψυχὴ εἴη ἡ πρώτη καὶ ἀρχικὴ (ταῖς καθ' ἕκαστον ἐνεργείαις ὑποκειμένη) ἐντελέχεια ὄντος τινὸς πρὸς τό ζῆν πεφυκότος, ὅ ἐστιν, ὀργανικοῦ σώματος[22]).

Ὁ **Ἔβερχαρδ** ἀρκεῖται λέγων ὅτι τῇ ὕλῃ ἐφαρμόζει ἡ δύναμις, τῷ δὲ εἴδει ἡ ἐνέργεια καὶ ἐντελέχεια[23]). Οἰκτρὰν δὲ πλανᾶται πλάνην λέγων, «ἐφ' ὅσον ἡ ψυχὴ τὴν θρέψιν καὶ γένεσιν ἐργάζεται ἐστὶν ἐντελέχεια, ἐφ' ὅσον δ' οὐκ ἀεὶ ἐνεργεῖ, πρώτη ἐντελέχεια»[24]). Λέγομεν δ' ὅτι πεπλάνηται ὁ ἀνήρ, ἐπεὶ τοὐναντίον δοκεῖ συμβαίνειν· πρώτη

---

19) αὐτόθι. «Auf diese Weise also ist die Seele actus aber nicht als actus, intelligent aber der Sache nach, materiell, ohne sich als intelligent zu wissen.»

20) Αὐτόθ. σελ. 458. «Wir verzichten darauf mit Hülfe des Aristoteles selbst zu begreifen, was er ausgesprochen. Uns genügt, dass er, und dass Er es gesagt hat.» Τό γ' ἐφ' ἡμῖν δυσχεραίνομεν ἐπὶ τούτῳ, ὅτι οὐ τῷ Ἀριστ. αὐτῷ τὸν Ἀριστ. ἡρμήνευκεν.

21) Ἱστορ. τῆς Ἑλλ. κ. Ρωμ. φιλ. Β'. 2 σελ. 1094. «Ergab sich ihm (τῷ Ἀρ.) die Seele als die (wahre, einfache) Wesenheit eines belebten oder durch Naturbestimmtheit zum Leben befähigten, d. h. zunächst durch Ernährung und Wachsthum sich erwachsenen Körpers ...., und näher als die in der Form desselben sich wirksam erweisende Kraftthätigkeit, von der Arist. in der Physik gezeigt hatte, dass sie weit entfernt in Bewegung aufzugehen, ihr vielmehr zu Grunde liegen müsse.»

22) Αὐτόθ. σελ. 1095. «Sie (ἡ ψυχή) sei die erste oder ursprüngliche (den einzelnen Akten zu Grunde liegende) Entelechie eines durch Naturbestimmtheit zum Leben geeigneten, d. h. organischen Körpers.

23) Ἐν τῇ μνημ. συγγ. σελ. 3 κ. ε.

24) Αὐτόθ. σελ. 16. «Insofern sie (ἡ ψυχή) die Ernährung und Erzeugung bewirkt ist sie ἐντελέχεια, insofern sie aber nicht immer thätig ist, die πρώτη ἐντελέχεια.»

γὰρ ἐντελέχεια ἡ τὴν θρέψιν καὶ γένεσιν ἀπεργαζομένη δεγχθήσεται, τὸ δὲ ὁτὲ μὲν ἐνεργεῖν, ὁτὲ δὲ μὴ μᾶλλον τῆς ἐντελεχείας κατηγορηθήσεται. Καὶ δεύτερον δὲ ἁμάρτημα διαπέπραχεν ὁ γεννάδας· ἀποδέδωκε γὰρ τὴν πρώτην ἐντελέχειαν τῷ παθητικῷ νῷ, πρότερον ἢ ἅμα τῇ ἐντελεχείᾳ, ὕστερον δὲ τῆς πρώτης ἐντελεχείας ὄντι[25]). Οὐ μὴν γε τούτων ἕνεκα τῷ ἀνδρὶ μεμφόμεθα· ἀκμὴν γὰρ φιλοσοφῶν ἐν τῷ γράφειν ταῦτα ἐτύγχανεν, ὡς δοκεῖ.

Ὁ **Ἔρτλιγκ** περιορίζεται μόνον εἰς τὸ εἰπεῖν ὅτι τὸ εἶδος, ἡ μόρφή, ὁ λόγος, συγγενῆ τῇ ἐντελεχείᾳ, ἥν ἑρμηνεύει, τὸ τόδε τι τέλειον καθ' αὑτό, ἢ μᾶλλον, ἡ καθ' αὑτὸ αὑτοῦ τελεία ἀρχή[26]), καὶ ἐναλλάσοντα. Πλὴν πῶς συγγενὴς ὁ λόγος τοῦ εἴδους τῷ τῆς ἐντελεχείας; πῶς δ' ἂν εἴποι τις τὸ συγγενὲς ταὐτό; πρὸ τούτων δὲ πάντων πῶς οὐ ζητητέον πρῶτον τί ἐστιν ἡ ἐντελέχεια καθ' αὑτὸ καὶ εἶτα εἰκότως εἰ ταὐτὸν ἢ οὔ; τὰ δὲ περὶ τῆς πρώτης ἐντελεχείας αὐτῷ εἰρημένα εὐτελῆ καὶ δυσάρμοστα δοκοῦσιν[27]), ἱκανὸν δὲ σημειοῦν ὅτι πρώτην ἐντελέχειαν καλεῖ τὴν δύναμιν πρὸς ἐξεργασίαν τοῦδε τοῦ ζῶντος ὄντος· δέδεικται δὲ ὅτι ἀδύνατον ἅμα ἄμφω συνυπάρχειν, οὐδ' ἔστι τι μεταξὺ ἐντελεχείας πρώτης καὶ δυνάμεως, ἀλλ' ἐναντία ἀλλήλοις[28]).

Ὁ **Σλόττμανν** ὡσαύτως ἀρκεῖται λέγων ὅτι ἐντελέχειά ἐστιν «ἡ ἀνάπτυξις τῆς ἐν τῷ ζῶντι σώματι ἐμπεφυκυίας δυνάμεως»[29]), καὶ μεταφορικῶς πως, τὴν μὲν δύναμιν παραβάλλει τῷ πυρῆνι, τὴν δὲ καρπογόνον δύναμιν τῇ ἐξεγέρσει τῆς δυνάμεως, αὕτη δ' ἐστὶν ἡ ἐνέργεια, τὸ δὲ γιγνόμενον καὶ ζῶν (φυτὸν ἢ ζῶον) τῇ ἀναπτύξει τῆς δυνάμεως[30]), ἤτοι τῇ ἐντελεχείᾳ. Καὶ ταῦτα μὲν τεχνηέντως καὶ λογικῶς ὑπὸ τοῦ Σλόττμανν εἴρηται, οὐ μὴν καὶ σαφὲς τὸ πρᾶγμα καθίστησιν. Καὶ τὴν μὲν ἐνέργειαν καὶ δύναμιν εὐστόχως ὑπετύπωσε, τὰ δὲ περὶ ἐντελεχείας οὐ καλῶς ἐξηκρίβωκεν. Καὶ περὶ μὲν τῆς ἐντελεχείας κάλλιον τοῦ Ἔβερχαρδ εἴρηκε, περὶ δὲ πρώτης ἐντελεχείας οὐδένα λόγον ἐποιήσατο.

Ὁ **Σεῖβεκ**[31]) πρώτην ἐντελέχειαν φησὶ τὴν τοῦ σώματος φυτικὴν ἐνέργειαν, τὴν ὀργανίζουσαν πρὸς τέλος τι δύναμιν καὶ μεταβολὴν ἐκ τοῦ δυνάμει ὄντος σώματος εἰς τὸ ζῶν σῶμα, καὶ ἐνδελεχῆ οὖσαν, ὀρθῶς μέν πως, ἀλλ' οὐ πάντῃ ἀκριβῶς.

---

25) Αὐτόθ. σελ. 42. «Der παθητικός ist die erste Entelechie des Körpers, und wird durch die Thätigkeit ἐνέργεια.»

26) σελ. 121. «Wird diese Bezeichnung (τῆς ψυχῆς ὡς εἴδους καὶ μορφῆς) mit der verwandten der Entelechie vertauscht, der in sich vollendeten Wirklichkeit, oder vielmehr des Princips derselben.»

27) Αὐτόθι σελ. 122 κ. ε.

28) Αὐτόθι.

29) Ἐν τῇ μν. συγγρ. σελ. 3. «Die Entfaltung dessen, was in dem lebendigen Leibe als Potenz angelegt ist.»

30) Αὐτόθι ἐν τῇ ὑποσ. ἔνθα τῇ δυνάμει ἀποδίδωσι τὴν Potenz, τῇ ἐνεργείᾳ τὴν Potenzerregung, καὶ τῇ ἐντελεχεία τὴν Potenzentfaltung.

31) Ἐν τῇ μνημ. συγγρ. σελ. 6.

Ὁ **Ὕβερβεγ** φησὶν ὅτι ὁ Ἀριστ. δύο διακρίνει, τὴν πρώτην ἐντελέχειαν καὶ τὴν ἐνέργειαν· καὶ τὸ μὲν πρῶτον κατάστασιν τελειότητος φησίν, τὸ δὲ δεύτερον τελείαν ἐνέργειαν τοῦ τελείου (τετελεσμένου)[32]). Ἀλλ' ᾗ μὲν ἡ ἐνέργεια ἐντελέχεια λέγεται, οὐδόλως τῆς πρώτης ἐντελεχείας διοίσει, ἀλλ' ἔσται ταὐτόν, εἴπερ ἡ πρώτη ἐντελέχεια τελειότητος κατάστασίς ἐστιν, ὡς ὁ Ὕβερβεγ φησίν· ᾗ δ' ὡς ἁπλῆ κίνησις ἡ ἐνέργεια λέγεται, πῶς ἂν εἴη τελεία διαρρήδην αὐτὴν ἀτελῆ τοῦ Ἀριστοτέλους ἀποφηναμένου[33]); Κατωτέρω δὲ πάλιν διακρίνει πρώτην καὶ δευτέραν ἐντελέχειαν, κατὰ τὸ Ἀριστοτέλειον ἐπιστήμην καὶ θεωρεῖν, ἀμφότερα οὐκ εὐφυΐας πρὸς τὸ γενέσθαι τι, ἀλλὰ πληρώσεις, τέλειά τινα ὄντα· καὶ ἔχον μὲν ἀλλ' ἠρεμοῦν καλεῖται ἐπιστήμη, ἐνεργοῦν δέ, θεωρεῖν. Ἀλλὰ πῶς ἐννοητέα ἐντελέχεια ἠρεμοῦσα οὐκ ἀκριβέστερον διωρίσατο[34]).

Κεφ. ιβ'.

Ἡ ἐντελέχεια καθόλου.

§ 1. Εἴρηται ὅτι δύο τὰ ἐναντία, τὸ ὂν καὶ τὸ ἁπλῶς οὐκ ὄν, τρίτον δ' ἡ ὕλη, ὂν μέν τι, ἀλλ' ἄμορφον καὶ τρόπον τινὰ οὐκ ὄν. Καὶ τῷ μὲν ὄντι ἀποδέδοται ὁ νοῦς πάντα ἐν ἑαυτῷ τὰ εἴδη περιλαμβάνων, τῷ δὲ ἁπλῶς οὐκ ὄντι ὡς ἁπλῆ στέρησις, τῇ δὲ ὕλῃ ἡ δύναμις ἢ εὐφυΐα καὶ τὸ δεκτικὸν παντὸς εἴδους. Ἀλλὰ πρὸς τὸ γενέσθαι τόδε τι ἀναγκαία ἡ κίνησις· τῇ γὰρ ὕλῃ ἡ ἠρεμία προσῆπται, ἡ δὲ κίνησις ἐκ τοῦ νοῦ τοῦ πρῶτον κινοῦντος. Εἰ δ' ὁ νοῦς τὸ θειότατον καὶ ἀρχὴ παντὸς εἴδους, καὶ τὸ γιγνόμενον ἕξει τι εἶδος καὶ μεθέξει πως τοῦ θείου καὶ πρός τι τέλος καὶ δὴ τὸ βέλτιστον γενήσεται. Αὕτη δ' ἡ ἐνέργεια ἡ

---

32) Ἱστρ. τ. φιλοσ. α'. σελ. 193 «ἐντελέχεια ἡ πρώτη, worunter der Vollendungszustand als solcher zu verstehen ist, und ἐνέργεια, die wirkliche Thätigkeit des vollendeten», συνηγοροῦντας δ' ἑαυτῷ τόν Τρενδελεμβούργ καὶ Σβέγλερ φησίν.

33) Τοῦτο ὡς δοκεῖ παρήγαγε τὸν Ἔβερχαρδ εἰπεῖν ὅτι πρώτη ἐντελέχεια καλεῖται ἐφ' ὅσον ἐνεργεῖ ἢ οὔ, ἐντελέχεια δὲ ἡ ἀπεργαζομένη τὴν θρέψιν καὶ αὔξησιν.

34) Αὐτόθ. σελ. 199. «Beide nämlich sind nicht blosse Anlagen, sondern Erfüllungen; aber das Wissen kann als ruhender Besitz vorhanden sein, das θεωρεῖν ist seine Bethätigung.» Ἐκ τούτων δὲ κατάδηλον ὅτι οὐκ ακριβῶς ἠρεύνηκε τὰ περὶ ἐντελεχείας, αλλ' ἀναπαυόμενος ἐπὶ τῶν ἐπιστήμην καὶ θεωρεῖν τοῦ Ἀριστοτέλους μεθερμηνεύει εἰς τὴν γερμανικὴν λέξιν τὴν Ἑλληνικήν, ὡς παρά πολλοῖς τοῦτο συμβαίνει, οὐ διασαφίζει δέ τὶ τὸ ἠρεμοῦν, τὸ θρεπτικὸν ἢ τὸ αἰσθητικόν, ἢ τὸ νοητικόν, ἢ δύο ἐξ αὐτῶν, ἢ ἅμα πάντα. Φαίη οὖν ἄν τις ἴσως ὡς οὐ τοῦ ἱστορίαν συγγράφοντος ἔργον τοῦτο, οὐδέ μὴν τεταραγμένα καὶ σκοτεινὰ λέγειν, καὶ μή τῇ ἀριστ. διδασκαλίᾳ ἐρειδόμενα.

ἀπεργαζομένη τόδε τι ἐκλήθη φύσις, ἥτις ἐστὶν ἡ διακοσμοῦσα ἐκείνη τὸ πᾶν δύναμις πρός τι τέλος καὶ ἕνεκά τινος· εἰ δὲ τοῦτο, ἕξει καὶ εἶδος, τὸ δ' εἶδος οὐκ ἐν αὐτῇ ὡς ἀναγκαῖον προσόν, ἀλλ' ἐκφαινόμενον ἐν αὐτῇ οὐκ οὔσῃ τι αὐτοτελὲς καὶ αὐθύπαρκτον, ἀλλὰ τὴν ἀρχὴν ἐν τῇ κινήσει ἐχούσῃ· καὶ οὕτως ἔσται ἡ φύσις τρόπον τινὰ ποιοῦν, ἀλλ' οὐ τὸ πρῶτον, μᾶλλον δὲ ποίησις· οὐ μόνον δ' αὖ ποίησις, ἀλλὰ καὶ πάθησις· ἐν γὰρ τῷ γίγνεσθαί τι καὶ ποίησις καὶ πάθησις πάρεστιν, ἄρ' ἔσται ἡ φύσις οἷον ἡ τέχνη, κατὰ τὸ ἀνάλογον. Ὡς δ' ἐν τῇ τέχνῃ, τέχνη, καὶ τεχνίτης οὐ ταὐτόν, οὕτω καὶ φύσις καὶ νοῦς οὐ ταὐτόν. Ὡς δ' αὖ ἡ τέχνη οἴσεται καὶ εἶδος τι, οὕτω καὶ ἡ φύσις, ἄμφω ἕξουσιν εἶδος, καὶ τὸ ἐξ αὐτῶν δ' εἶδος τι οἴσει· ὡς δὲ τὸ εἶδος τέλος τι καὶ οὗ ἕνεκα, καὶ τὸ προϊὸν ἐκ φύσεως ἕξει τὸ τέλος, καὶ ἔσται ἐντελεχὲς ὡς φέρον ἐν ἑαυτῷ τό τέλος. Ὥστε οὐ κακῶς οἱ πάλαι αὐτὴν ἡρμήνευκαν ἐντελοῦς συνοχήν, καὶ τελειότητα καὶ εἴτι ἕτερον. Κατὰ ταῦτα οὖν ἐντελέχεια ἔσται πᾶν τὸ ἐκ κινήσεως γιγνόμενον καὶ τῆς ὕλης τῆς οὔπω τόδε τι οὔσης. Εἰ δὲ πᾶσα κίνησις φύσει πρὸς εἶδός τι, ἐντελέχεια ἔσται ἡ συνδρομὴ εἴδους καὶ ὕλης εἰς ἕν τι σύνθετον. Εἰ δ' αὖ πᾶσα κίνησις ἐκ τοῦ πρώτου κινοῦντος, καὶ κινητικὸν ἔσται τὸ πρῶτον κινοῦν, καὶ πρὶν κινῆσαι, ἐνεργεία. Κινητικὸν δὲ τοῦ κινητοῦ, τῆς ὕλης· κινητικὸν δυνάμει πρὸς τὴν ὕλην, οὐ μὴν καὶ καθ' αὐτό· καθ' αὐτό γαρ ἔστι τοῦθ' ὅπερ εστίν, αὐτὸ ἑαυτῷ αὔταρκες καὶ μακάριον (εἰ δ' ἔστι μεταξὺ χρόνος ἢ οὔ τοῦτ' ἄλλης θεωρίας). Ἀλλὰ καθὸ κινητικὸν κινεῖ, ἡ δὲ κίνησις ἐνέργεια, καὶ ἐνεργητικὸν ἄρα τοῦ κινητοῦ ἔσται· «τὸ γὰρ πρὸς τοῦτο ἐνεργεῖν, ᾗ τοιοῦτον, αὐτό τὸ κινεῖν ἐστιν» ᾗ τοιοῦτον, ὅ ἐστιν, ἡ κίνησις καὶ ἐνέργεια ἁπλῆ καὶ πρώτη. Εἰ οὖν κινητικόν ἐστι τῷ δύνασθαι ἐνεργεῖν, κινοῦν δ' ἐστὶ τῷ ἐνεργεῖν αὐτῷ χρόνου μὴ παρεμπίπτοντος, ἡ ἐνέργεια οὐ χωριστή, ἀλλὰ χρόνῳ ἡ αὐτὴ αμφοτέρων ἔσται, ἅμα δὲ καὶ τόπῳ. Ἀλλ' ἐν τῇ ἐνεργείᾳ αὐτῇ δύο τινὰ συμβαίνει, ποίησις καὶ πάθησις. Εἰ οὖν ἡ ἐνέργεια μία δοκεῖ ἀμφοῖν, ποίησις καὶ πάθησις καὶ ἑκατέρῳ αὐτῶν ἔσται καὶ ἅμ' ἀμφοῖν, τῷ τε κινοῦντι καὶ κινουμένῳ. Καὶ λογικῶς μὲν οὕτως ἂν ἀποροῖ τις· ἀλλ' ἔσται ὁ οὕτω λογιζόμενος ἐκτὸς τῶν πραγμάτων, καὶ ἐκτραπεὶς τρόπον τινὰ τῆς ὁδοῦ, καὶ μὴ τοῦ προκειμένου ἐχόμενος· εἰκότως γὰρ ἄν τις ἀντιπαραθείη· εἰ ἡ ἐνέργεια μία καὶ ποίησις καὶ πάθησις ἀμφοτέρων, τὶς χρεία δύο τιθέναι, καὶ μὴ ἕν νῦν μὲν ποιοῦν ἅμα δὲ καὶ πάσχον; καὶ ἐνταῦθα τὸ ἄπειρον τῶν ἀποριῶν καὶ ὁ φαῦλος κύκλος· πάλιν γὰρ ἄν τις ἀνασκευάζων ἐρεῖ, πότε ποιοῦν καὶ πότε πάσχον; πόθεν δὲ καὶ διατί; καὶ πρὸς οὐδὲν τέλος, ἢ κατὰ τύχην, ἢ αὐτομάτως; καὶ οὕτω συμβήσεται τῷ ἐν παντὶ λόγον ζητοῦντι μακρὰν τῶν πραγμάτων, ἀναιρεῖν λόγον. Τὶ δ' ἔστι τὸ ἀληθὲς ἐν τούτοις; ἢ οὐ δεῖ ζητεῖν παντάπασιν; Ἡ ἐμπειρία ἡ ἐκ τῆς ἐπαγωγῆς δείκνυσιν ἡμῖν ὅτι πᾶν τὸ γιγνόμενον ἕνεκά του, καὶ τῷ ζητοῦντι, ἢ πανταχοῦ, ἢ ὡς ἐπὶ τὸ πολὺ ἀποκαλυφθήσεται τέλος τι καὶ οὗ ἕνεκα γίγνεται τόδε τι. Ἐν δὲ τοῖς γιγνομένοις ὕλη καθορᾶται, καὶ ἄμορφος νοεῖται καὶ δεκτικὴ τοῦ εἴδους, ἡ σύνοδος δ' ἀμφοτέρων γιγνομένη κινήσει, αὕτη δ' ἐκ τοῦ πρώτου κινοῦντος καὶ τὰ εἴδη περιέχοντος καὶ ἐνεργείᾳ ὄντος, τῆς ὕλης ἐν ἀδρανείᾳ διατελούσης καὶ ἠρεμίᾳ. Εἰ δὲ ταῦτα οὕτως ἔχει, ἡ κίνησις μία ἔσται ἡ ἐκ τοῦ

πρώτου κινοῦντος, ἡ δὲ ὕλη δεκτικὴ ταύτης, καὶ ποίησις μὲν ἔσται ἐκ τῆς κινήσεως, πάθησις δὲ ἡ ἐν τῇ ὕλῃ. Καὶ ἔσται μὲν ἐν ταὐτῷ ποίησις καὶ πάθησις, ἀλλὰ προτέρα ἡ ποίησις ἐν μόνῳ τῷ ποιοῦντι ἐνεργείᾳ καὶ ἕξις, ἐν δὲ τῇ ὕλῃ δυνάμει καὶ στέρησις.

Ἐνέργεια οὖν κατὰ τὰ εἰρημένα ἐστὶν ἡ ποίησις καὶ πάθησις. Ἀλλ' εἴρηται ἀνωτέρω ὅτι ἡ ἐνέργεια ἀτελής ἐστι κίνησις· εἰ δὲ τοῦτο, καὶ ἡ ποίησις καὶ πάθησις ἀτελὴς ἔσται· ἔσται γὰρ ἐνέργεια καὶ ἐμμονὴ κινήσεως πρός τι ἔργον τέλειον, ὅτε τοῦ μὲν ἔσται ποίημα, τοῦ δὲ πάθος, αὐτὸ δὲ τὸ ποίημα καὶ πάθος οὔπω· καὶ ἐνέργεια καὶ κίνησις αὐτῆς τῆς ἐντελεχείας, οὐκ αὐτὴ δ' ἡ ἐντέλεια ἁπλῶς καὶ τὸ τέλειον, οὗ ἕνεκα ἡ ἐνέργεια ἡ ἀτελής. «Τὸ μὲν δὴ ποίησις, τὸ δὲ πάθησις, ἔργον δὲ καὶ τέλος τοῦ μὲν ποίημα, τοῦ δὲ πάθος». Τούτων δ' οὕτως ἐχόντων τὶ ἔσται ἐντελέχεια; «Ἀλλοίωσις (μὲν γὰρ) τοῦ ἀλλοιωτοῦ ᾗ ἀλλοιωτὸν ἐντελέχεια. Ἔτι δὲ γνωριμώτερον, ἡ τοῦ δυνάμει ποιητικοῦ καὶ παθητικοῦ, ᾗ τοιοῦτον, ἁπλῶς τε καὶ πάλιν καθ' ἕκαστον, ἢ οἰκοδόμησις, ἢ ἰάτρευσις»[1]). Ὥστε ἁπλῶς ἐντελέχεια ἔσται ἡ ἀλλοίωσις, ἀλλοίωσις δὲ ἡ ἐκ τοῦ δυνάμει ποιητικοῦ καὶ παθητικοῦ· ἀλλὰ ποιητικὸν εἴρηται τὸ μετὰ κινήσεως εἶδος, παθητικὸν δὲ ἡ ὕλη, ὥστ' ἐντελέχεια ἔσται ἡ συνδρομὴ ἀμφοτέρων. Ἀλλ' ἡ οἰκοδόμησις καὶ ἰάτρευσις οὐκ ἔσονται, κατ' ἀναλογίαν τῶν περὶ ποιήσεως καὶ παθήσεως ῥηθέντων, ἐντελέχεια, ἀλλ' ἐνέργεια ἀτελής· ἐν γὰρ τῷ οἰκοδομεῖσθαι οὔπω τέλειον τὸ οἰκοδόμημά ἐστιν, οὐδ' ἐν τῇ ἰατρεύσει ἡ ἴασις· πῶς οὖν ἐνταῦθα ὁ Ἀριστ. τὴν οἰκοδόμησιν καὶ ἰάτρευσιν ἐντελέχειαν καλεῖ; πάλιν ἀντιφάσκων ἑαυτῷ! Ἀλλ' ἆρά γε μὴ ἄλλο τί ἐστι τὸ γιγνόμενον τοῦ τετελεσμένου; μὴ ἕτερος ἔσται ὁ οἶκος ὁ οἰκοδομούμενος καὶ ὁ ᾠκοδομημένος; ἄτοπόν γε μὴν καὶ δοκεῖν τινι· μετέπεσε γὰρ τοῦ δυνάμει καὶ ἐν ἐνεργείᾳ εὕρηται, ἡ δ' ἐνέργεια τῆς ἐντελεχείας καὶ ταύτης ἕνεκα πᾶσα κίνησις. Εἰ δ' ἡ κίνησις ἀτελὴς καὶ ἀδύνατον προσδιορίσαι τί ἐστιν, ἡ ἐμμονὴ πλὴν τῆς κινήσεως παράξει καί τι εἶδος, εἰ δὲ μὴ πάντη τέλειον, ὅμως ἕξει αὐτό, καὶ τοῦτο ἔσται ἡ πρώτη ἐντελέχεια· πρώτη δ' οὐ φύσει, ἀλλὰ χρόνῳ πρώτη, καὶ τοῦτον τὸν τρόπον ἔσται ἡ ἐνέργεία ἐντελέχεια, οὐχ ὡς παθητικὸν καὶ ποιητικόν, ἀλλ' ὡς πάσχον καὶ ποιοῦν, ὅταν δὲ τέλειον γένηται τὸ ποίημα καὶ πάθημα, τότε καὶ ἐντελέχεια ἔσται, ἣν ἂν δευτέραν ἐντελέχειαν πρὸς ἡμᾶς χρόνῳ καλοῖμεν[2]).

Κατὰ ταῦτα οὖν οὐκ ἂν καταπλήξειεν ἡμᾶς εἴ που ἀντὶ τῆς ἐντελεχείας τῇ ἐνεργείᾳ ὁ Ἀριστοτ. χρῆται[3])· ἐπεὶ ἡ ἐνέργεια ἐπὶ πλέον

---

[1]) Φυσ. Γ'. γ'. 202 β. 25.

[2]) Λέγομεν δὲ ἡμᾶς· φύσει γὰρ ἔσται προτέρα καὶ χρόνῳ ἐν τῷ ἐντελεχείᾳ πρώτῳ ὄντι καὶ ἀρχῇ παντὸς εἴδους. Ταῦτα δ' ἂν οὕτω παρεικάζοι τις· πρώτη κίνησις ἔστω ἡ συναγωγὴ τῆς ὕλης πρὸς οἰκοδομὴν οἴκου, ὅτε τις οὐκ ἂν εἰδείη πρὸς τὶ ταῦτα πάντα, καὶ τοῦτο πρόπον τινὰ ἡ πρώτη καὶ ἀτελὴς ἐνέργεια· εἶτα δ' ἐκ τῶν ὑποκειμένων ἡ οἰκοδόμησις, τοῦτο δ' ἔστω ἡ ἐμμονή τῆς κινήσεως πρὸς τὸ προτιθέμενον τέλος καὶ πρώτη ἐντελέχεια· τετελεσμένος δ' ὁ οἶκος ἔσται ἡ δευτέρα ἐντελέχεια, αὐτὸ τό τέλος.

[3]) Ὅρ. Φυσ. Γ'. β'.

κληθήσεται τῆς ἐντελεχείας· ἐνέργεια γὰρ καὶ ἡ πρώτη κίνησις καλεῖται, ἐντελέχεια δ' οὔ. Καὶ ἡ μὲν ἐνέργεια οὐ παύσεται οὖσα καὶ τῆς δευτέρας ἐντελεχείας οὔσης· ἡ γὰρ θρέψις καὶ πρώτη καὶ οὐ παυομένη μέχρι τῆς φθορᾶς, ἡ δὲ δευτέρα ἐντελέχεια οὐκ ἔσται ὡς εἰκός[4]). Τοῦτον δὲ τὸν τρόπον ἡ ἐνέργεια καὶ οὐσία ἔσται, οὐχ ὡς καθ' αὑτὴν οὖσα ἡ οὐσία, ἀλλ' ὡς ἐνέργεια οὖσα αὐτῆς τῆς οὐσίας, καὶ τοῦ εἴδους ἕνεκα τοῦ τελείου τοῦδε· ἡ γὰρ ἐμμονὴ αὐτῆς τελειοῖ, παυσαμένης δ' οὐδὲν τελειοῦται. Ταὐτὰ δ' ἐν τῷ Κ. θ'. τῆς Μετ. δέδεικτα καὶ οὐ χρεία πολλῶν λόγων.

§ 2. Καθόλου μὲν οὖν καὶ ἁπλῶς ἐντελέχεια κατὰ τὰ εἰρημένα ἐστὶν ἡ ἐκ τοῦ ἀμόρφου εἰς τοιάνδε ἢ τοιάνδε μορφὴν μετάβασις, ἢ ἡ ἐκ τοῦ δυνάμει εἰς ἐνέργειαν, καὶ ἐξ ἀδρανείας εἰς κίνησιν, καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν τόδε ἢ τόδε τὸ ὡρισμένον καὶ μὴ ἐνδεχόμενον εἶναι καὶ μή[5]). Μετάβασιν δὲ λέγομεν οὐ τὴν πρώτην κίνησιν, ἢ ἐνέργειαν τὴν ἀτελῆ, ἀλλὰ τὴν ἐμμονὴν αὐτῶν ἐξ ὧν τόδε τὸ σύνθετον καὶ ἐνεργείᾳ ὄν[6]). Ὀρθότατα δὲ καὶ ὁ Τρενδελεμβούργ καὶ οἱ πρότερον τὴν καθόλου ἐντελέχειαν ἡρμήνευσαν[7]). Εἰ τοῦτ' οὖν ἐστιν ἐντελέχεια, ἡ δ' ἐντελέχεια ἄνευ ἐνεργείας ἀκατάληπτόν τι, ταὐτὸ ἔσται ἡ ἐνέργεια τῇ ἐντελεχείᾳ, ἀχώριστα γὰρ καὶ τῆς ἐντελεχείας ἕνεκα ἡ ἐνέργεια καὶ ἐν τῷ αὐτῷ χρόνῳ[8])· οὐ πάνυ δὲ σαφῆ τὰ ὑπὸ τοῦ Τρενδελεμβούργ εἰρημένα, ὅτι «ἐνέργεια μᾶλλον αὐτὴν τὴν τοῦ πράγματος ἐνέργειαν σημαίνει, ἐντελέχεια δὲ τὴν κατάστασιν τὴν ἐκ τῆς ἐνεργείας προελθοῦσαν», καὶ αὖθις, «ἡ ἐνέργεια ἐν αὐτῇ τῇ ἐνεργείᾳ περιείληπται, ἡ ἐντελέχεια δ' ἐκ τῆς ἐνεργείας εἰς κατάστασίν τινα ἠρεμεῖ, ὥστε τὴν ἐντελέχειαν μικρὸν ὕστερον προβαίνειν τῆς ἐνεργείας[9]). Εἰ γὰρ ἡ ἐν-

---

4) Σημειωτέον ὅτι οὐκ ἀεὶ οὕτως ἔχει ἡ ἐνέργεια· ἑτέρα γὰρ ἡ ἐνέργεια ἐν τῷ οἰκοδομεῖσθαι τὸν οἶκον, καὶ ἑτέρα ἡ τοῦ τετελεσμένου ἤδη οἴκου εἰ καὶ ἀμφότεραι πρὸς τὸ αὐτὸ τέλος.

5) Μετ. Γ'. ε'. 1009 α. 34 «δυνάμει μὲν γὰρ ἐνδέχεται ἅμα ταὐτὸ εἶναι τὰ ἐναντία, ἐντελεχείᾳ δ' οὔ.» Η. β'. 1043 α. 16 «οἱ δὲ (τὴν οἰκίαν) ἀγγεῖον σκεπαστικὸν σωμάτων . . . τὴν ἐνέργειαν λέγουσιν.» καὶ γ'. 1044 α. 2 κ. ε. καὶ στ'. 1045 β. ἢ, λόγος ἑνοποιὸς δυνάμεως καὶ ἐντελεχείας οὐδεὶς ἕτερος, «πλὴν εἴ τι ὡς κινῆσαν ἐκ δυνάμεως εἰς ἐνέργειαν.»

6) Μετ. Θ. ι'. 1051 β. 28 «καὶ πᾶσαι εἰσὶν ἐνεργείᾳ οὐ δυνάμει» αἱ σύνθετοι δηλ. οὐσίαι. Κ. θ'. 1065 β. 14 περὶ δὲ τῆς ἀτελοῦς κινήσεως τῆς πρώτης ὅρ. ἀνωτέρω καὶ Μετ. Κ. θ'. κεφ.

7) Τρενδελ. π. ψυχ. σελ. 295.

8) Μετ. Κ. θ'. 1065 β. 17. «Ὅταν γὰρ τὸ οἰκοδομητόν, ᾗ τοιοῦτον αὐτὸ λέγομεν εἶναι, ἐνεργείᾳ ᾖ, οἰκοδομεῖται, καὶ ἔστι τοῦτο οἰκοδόμησις. Ὁμοίως μάθησις, ἰάτρευσις καὶ κύλισις, βάδισις, ἅλσις, γήρανσις, ἅδρυνσις. Συμβαίνει δὲ κινεῖσθαι ὅταν ἡ ἐντελέχεια ᾖ αὐτή (οὕτως ἔδοξεν ἡμῖν τονισθῆναι καὶ οὐχ αὕτη ὡς εἰώθασι τονίζειν), καὶ οὔτε πρότερον οὔτε ὕστερον. Ἡ δὴ τοῦ δυνάμει ὄντος ἐντελέχεια, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ, ἢ ἄλλο, ἢ αὐτό, ᾗ κινητόν, κίνησίς ἐστιν . . .»

9) Π. ψυχ. σελ. 297 «Ἐνέργεια magis iprum rei actum, ἐντελέχεια statum ex actu exortum significat. ἐνέργεια in ipsa adhuc actione versatur, ἐντελέ-

τελέχεια ὕστερον χωρεῖ, ἔξωθεν χωρεῖ, εἰ δὲ τοῦτο, τί τὸ ἐνεργοῦν; πῶς δὲ νοητέα ἐντελέχεια ἠρεμοῦσα; καὶ ἐν μὲν τοῖς τέχνῃ γιγνομένοις ἕξει πως λόγον τοῦτο, οἷον τῷ γιγνομένῳ τῷδε τῷ τεχνητῷ, ἐν τῷ γίγνεσθαι ἄλλη ἔσται ἡ ἐνέργεια, γενομένου δ' ἑτέρα· καὶ τότε μὲν ἐνέργεια πρὸς τὸ τελεσθῆναι τόδε τὸ σκεῦος, νῦν δ' ἐνέργεια τοῦ σκεύους αὐτοῦ πρὸς τήνδε ἢ τήνδε τὴν χρῆσιν, τοῦτο δ' ἐστὶ τὸ τέλος, καὶ ὁ σκοπὸς τοῦ τεχνίτου· ὥστε ἡ πρώτη ἐνέργεια ταύτης τῆς τελευταίας χάριν ἦν, καὶ ἔσται τρόπον τινὰ ταὐτόν· ἐν δὲ τοῖς φύσει γιγνομένοις οὐ πάνυ φανερὰ ταῦτα, ἀλλ' ἡ ἐμμονὴ τῆς πρώτης κινήσεως ἔσται καὶ ἡ πρώτη ἐνέργεια, ἅμα δὲ καὶ ἡ ἐντελέχεια, ἀλλ' ἐντελέχεια οὐ παντελῶς τετελεσμένη, ἐντελέχεια μέντοι ἡ πρώτη· καὶ ἔσται ταὐτὸν τῇ ἐμμονῇ τῆς ἐνεργείας (ἡ γὰρ πρώτη ἐνέργεια ἀπροσδιόριστος καὶ χρόνῳ προτέρα), καὶ κατὰ τὸν αὐτὸν χρόνον· προϊόντος δὲ τοῦ χρόνου τελειοῦται πάντῃ ἕκαστον ὄν, οὐ παυομένης τῆς ἐνεργείας ἀλλὰ τελειότερον ἐνεργούσης μὲν ταύτης, τελειουμένης δὲ παντάπασι τῆς πρώτης ἐντελεχείας, ἕως οὗ ἔσται ἡ μὲν ἐμμονὴ τῆς ἐνεργείας τελεία ἐνέργεια, ἡ δὲ πρώτη ἐντελέχεια δευτέρα, οὐ μέντοι γ' ἑτέρα ἀλλ' ἡ αὐτή. Ἐκ τούτων οὖν δῆλον ὅτι οὐχ ἕτερον ἐντελεχείας ἐνέργεια, καὶ ἡ πρώτη δὲ κίνησις καὶ ἐνέργεια ταὐτὸν τρόπον τινὰ τῇ ἐντελεχείᾳ ἔσται, καὶ πάντα ἐκ κινήσεως τῆς ἐκ τοῦ πρώτου κινοῦντος πρός τι τέλος καὶ ἕνεκά τινος, τρόπον δ' αὖ τινα διάφορος, ὡς οὔπω τόδε τι τὸ ὡρισμένον εἶδος οὖσα. Χρόνῳ οὖν ἔσται τὸ ὂν πρῶτον μὲν οὐχ ὡρισμένον καὶ εἰλικρινές, εἶτα δὲ τόδε τι τὸ εἶδος, ἀλλ' οὐ παντάπασι τέλειον, τέλος δ' ἔσται ταὐτὸ καὶ ἐκ τῆς αὐτῆς ἐνεργείας καὶ οὐχ ἕτερον ἢ ἑτέρας, τὸ τέλειον εἶδος καὶ ἐνέργεια τελεία. Τοὺς διακρίνοντας δ' ἐνέργειαν ἐντελεχείας δοκεῖ τόδε τὸ χωρίον παραγαγεῖν· «ἐλήλυθε δ' ἡ ἐνέργεια τοὔνομα, ἡ πρὸς τὴν ἐντελέχειαν συντιθεμένη»[10])· ἄπορον πλὴν πῶς· ἡμῖν γὰρ μᾶλλον συνηγοροῦν τοῦτο δοκεῖ. Ἐκεῖ γὰρ τοὺς Μεγαρικοὺς ἀνασκευάζων ὁ Ἀριστ. φάσκοντας, «ὅταν ἐνεργῇ μόνον δύνασθαι, ὅταν δὲ μὴ ἐνεργῇ οὐ δύνασθαι»[11]), τίθησιν ἐνέργειαν οὐ πᾶσαν καὶ τὴν δυνάμει λεγομένην, ἢ οἵαν τις ἂν σοφιζόμενος ἐννοοῖ, ἀλλ' ἐνέργειαν ἐντελεχοῦς τινος ὄντος, διὸ καὶ συντιθεμένην αὐτὴν καλεῖ, οἷα ἀχώριστον οὖσαν[12]). Ταῦτα καὶ ἐκ τῶνδε φανερὰ γενήσεται «τὸ γὰρ ἔργον τέλος, ἡ δ' ἐνέργεια τὸ ἔργον· διὸ καὶ τοὔνομα ἐνέργεια λέγεται κατὰ τὸ ἔργον, καὶ συντείνει πρὸς τὴν ἐντελέχειαν. Ἐπεὶ δ' ἔστι τῶν μὲν ἔσχατον ἡ χρῆσις, οἷον ὄψεως ἡ ὅρασις, καὶ οὐδὲν γίγνεται παρὰ ταύτην ἕτερον ἀπὸ τῆς ὄψεως ἔργον, ἀπ' ἐνίων δὲ γίγνεταί τι, οἷον ἀπὸ τῆς οἰκοδομήσεως ἡ οἰκία παρὰ τὴν οἰκοδόμησιν . . . . Ὅσων μὲν οὖν ἕτερόν τί ἐστι παρὰ τὴν χρῆσιν τὸ γιγνόμενον, τούτων μὲν ἡ ἐνέργεια ἐν τῷ ποιουμένῳ ἐστιν . . . ὅσων δὲ

χεια contra, ex actione in statu quodam aquierit, ut ἐντελέχεια aliquando ulterius processerit quam ἐνέργεια.»

10) Μετ. Θ. γ'. 1047 α. 30.

11) Αὐτόθ. 1046 β. 29.

12) Ὀρθότερον δοκεῖ γεγραφέναι τὸν Ἀλέξανδρον «συντεθειμένην», ὅρ. Βόνιτσ. μέρ. β'. σελ. 387.

μή ἐστιν ἄλλο τι ἔργον παρὰ τὴν ἐνέργειαν, ἐν αὐτοῖς ὑπάρχει ἡ ἐνέργεια»[13]).

Ἐκ τῶν γοῦν ἀνωτέρω εἰκάσειεν ἄν τις, ὡς ἡ ἐντελέχεια συνεχές τι, εἴπερ τῆς αὐτῆς ἐντελεχείας, ἥ τε πρώτη ἐνέργεια καὶ ἡ πρώτη ἐντελέχεια, καὶ ἡ δευτέρα, καὶ εἰ μηδὲν μεταξύ· εἰ δὲ ταῦτα, πῶς ἂν τῷ Κικέρωνι ἐπιτιμῶμεν συνεχῆ τινα κίνησιν τὴν ἐντελέχειαν ἡρμηνευκότι; πρὸς ταῦτα λέγομεν ὅτι ἀληθὲς μὲν ὅτι συνεχές τι ἡ ἐντελέχεια, πλὴν οὐχ ἱκανὸν τοῦτο· συνεχὲς γὰρ καὶ ἡ μεταβολή, μάλιστα δ' ἡ κίνησις, εἶτα φθίσις καὶ αὔξησις (ὅτι δ' αὔξησις οὐκ ἔστιν ἡ ἐντελέχεια ἐροῦμεν κατωτέρω)[14]), τίνι οὖν τούτων ἀποδοτέον τὴν ἐντελέχειαν, πάσαις ἤ τισίν; ἢ ταῖς πλείοσι; καὶ πῶς; ταῦτα εἰς ἀδιέξοδον λαβύρινθον ἄγει, καὶ τῷ σοφιζομένῳ ἕρμαιον ὁ τοιαῦτα δοξάζων καθίσταται.

§ 3. Ἐπεὶ δ' ἐντελέχεια εἴρηται ἡ ἀλλοίωσις τοῦ ἀλλοιωτοῦ ᾗ ἀλλοιωτόν, ἀκριβέστερον διορίσωμεν πῶς ποτ' ἀλλοιούμενον τὸ ἀλλοιωτὸν ἐντελέχειά ἐστιν· ἐν γὰρ τῇ Φυσ. ἀκροάσει τέθειται «ἔν τε τοῖς σχήμασι καὶ ταῖς μορφαῖς, καὶ ἐν ταῖς ἕξεσι καὶ ταῖς τούτων λήψεσι καὶ ἀποβολαῖς ἀλλοίωσιν ὑπάρχειν, ἐν οὐδετέροις δ' ἐστίν»[15]). Εἰ οὖν ἐν οὐδετέροις ἐστίν, πῶς ἔσται ἡ ἐντελέχεια ἀλλοίωσις; ἡ δυσχέρεια αὕτη αἴρεται, τῷ, «ᾗ ἀλλοιωτὸν» ἐπιστήσαντι τὴν διάνοιαν· ᾗ γὰρ λέγεται καθὸ ἐν δυνάμει ὂν τὸ ἀλλοιωτὸν καὶ κινήσεως δεκτικόν· ἐπελθούσης δὲ τῆς ἐντελεχείας, ἀνάγκη πρῶτον τὴν κίνησιν εἶναι, ἅμα δ' ἀλλοιοῦσθαι τὸ ὑποκείμενον, ἢ κάλλιον εἰπεῖν ἄρχεσθαι ἀλλοιοῦσθαι, ὅτε καὶ ἡ πρώτη ἐνέργεια, ἀλλ' ἀτελὴς καὶ ἀόριστόν τι. Καὶ ἐν ταύτῃ τῇ τοῦ χρόνου στιγμῇ ἀλλοιοῦται μέν τι, οὔπω δὲ τὸ ὡρισμένον φανερόν, ἀλλ' ἐμμενούσης τῆς πρώτης ἐνεργείας, ἠλλοιωμένου ἤδη ὄντος τινός, ἔσται ἡ ἐντελέχεια, οὐ ταὐτὸν ἀλλ' ἑπόμενον, καὶ ὂν μὲν ἀλλ' οὔπω τετελεσμένον καὶ αἰσθητὸν γεγενημένον. Οὕτω δ' ἔσται ἀλλοιούμενον οὐκ αὐτὴ ἡ ἐντελέχεια, ἀλλὰ τῶν ἀρχῶν τινες τῶν συνδραμουσῶν πρὸς ταύτην· οἷον ἐν τῇ γενέσει ἀνθρώπου, ἔστι τὸ εἶδος οὐκ αἰσθητόν τι, πρὸς τὸ συνειλῆφθαι δὲ ἀνάγκη κινήσεως καὶ ἀλλοιώσεως· καὶ αὐτὸ μὲν τὸ κινοῦν καὶ ἀλλοιοῦν, ἀλλοιούμενον δὲ τὸ ὑποκείμενον, ἡ ὕλη ὅτε γίγνεται τὸ εἶδος· οὐκ αὐτὸ δ' ἀλλοιούμενον, ἀλλ' ἀλλοιωθέντος ἤδη ἑτέρου, ἐμμενούσης δὲ τῆς ἐνεργείας, τετελειωμένον ἔσται τὸ εἶδος[16]).

---

13) Μετ. Θ. η΄. 1050 α. 21 ἔνθα δῆλον ὃ ἐλέγομεν ἀνωτέρω, ὅτι ὕστερόν πως ἡ ἐνέργεια ἐν τοῖς τεχνητοῖς, ἡ τελική.

14) Ὅρ. φυσ. Ζ΄. η΄. καὶ θ΄. καὶ Η΄. β΄.

15) Φυσ. Η΄. γ΄.

16) Αὐτόθι 245 β. 9. «Τὸ μὲν γαρ σχηματιζόμενον καὶ ῥυθμιζόμενον, ὅταν ἐπιτελεσθῇ οὐ λέγομεν ἐκεῖνο ἐξ οὗ ἐστιν, οἷον τὸν ἀνδριάντα χαλκόν, ἢ τὴν πυραμίδα κηρόν, ἢ τὴν κλίνην ξύλον, ἀλλὰ παρωνυμιάζοντες τὸ μὲν χαλκοῦν, τὸ δὲ κήρινον, τὸ δὲ ξύλινον· τὸ δὲ πεπονθὸς καὶ ἠλλοιωμένον προσαγορεύομεν· ὑγρὸν γὰρ καὶ θερμὸν καὶ σκληρὸν τὸν χαλκὸν λέγομεν καὶ τὸν κηρόν· καὶ οὐ μόνον οὕτως, ἀλλὰ καὶ τὸ ὑγρὸν καὶ τὸ θερμὸν χαλκὸν λέγομεν, ὁμωνύμως τῷ πάθει προσαγορεύοντες τὴν ὕλην· ὥστ' εἰ κατὰ μὲν τὸ σχῆμα τὴν μορφὴν οὐ λέγεται τὸ γεγονὸς ἐν ᾧ ἐστι τὸ σχῆμα, κατὰ δὲ τὰ πάθη καὶ

Ὥστε ἁπλῶς ἐντελέχεια ἡ ἐν τῇ πρώτῃ ἐνεργείᾳ ἀλλοίωσις τοῦ δυνάμει ποιητικοῦ καὶ παθητικοῦ ὀρθῶς τέθειται ὡς ἐν κεφαλαίῳ. Ταῦτα μὴν οὐ πάνυ ἁρμονικῶς δοκεῖ ἔχοντα τοῖς περὶ ἀλλοιώσεως διωρισμένοις. Ἀλλοίωσις γὰρ κίνησίς ἐστι, μηδὲν πλὴν ταῖς ἄλλαις κινήσεσι κοινωνοῦσα, ἀλλὰ κίνησις κατὰ τὰ πάθη ἢ πάντα, ἢ τὰ πλεῖστα[17]), τοῦτο δ' ἐστὶν ἡ κατὰ τὸ ποιὸν μεταβολή[18]). Ἀνάγκη οὖν ὑπόκεισθαί τι καὶ τὸ ὑποκείμενον τοῦτο ἀλλοιοῦσθαι· ὑπόκειται δὴ ἡ ὕλη ἄποιος, ἄμορφος, καὶ κίνησιν δὲ ἀνάγκη εἶναι, ἀλλ' ἀπροσδιόριστον· ἔστι δὲ καὶ τὸ εἶδος, ἡ οὐσία, ἀλλ' οὔπω τὸ αἰσθητὸν τόδε τι, δυνάμει δέ πως· ἡ συνδρομὴ γοῦν ἀμφοτέρων καὶ ἡ ἀλλοίωσις τῆς ὑποκειμένης ὕλης ὑπὸ τοῦ εἴδους εἰς τόδε τι τὸ συγκεκριμένον, ἵνα νεωτερίζοντες εἴπωμεν, τοῦτο ἡ ἁπλῶς ἐντελέχεια, τῆς αὐτῆς μὲν ὑπομενούσης ὕλης ποιᾶς δὲ γενομένης.

Ἀλλ' ὁ ἄνθρωπος ἔστιν ἐντελεχείᾳ, μεταβάλλων δὲ ὁτὲ μὲν νοσεῖ, ὁτὲ δὲ ὑγιειαίνει· τούτοις δ' ὑπόκειται ἀλλοίωσις, εἰ δ' ἀλλοίωσις, καὶ ἐντελέχεια τὸ μετὰ τοῦτο· πῶς δ' ἐξ ἐντελεχείας ἐντελέχεια; ἐνταῦθα δὴ ἡ ἀνάγκη ὅτι δεῖ ὑπάρχειν τι ἐντελεχείᾳ, ἐν ᾧ συμβαίνει ἀλλοίωσίν τινα εἶναι καὶ ἐντελέχειαν τοῦδε ἢ ἐκείνου τοῦ πάθους ἢ συμβεβηκότος[19]).

Ἐκ τούτων φανερὸν πῶς ποτ' ἂν ἡ ἀλλοίωσις λέγοιτο, ἅμα δὲ καὶ

τὰς ἀλλοιώσεις λέγεται, φανερὸν ὅτι οὐκ ἂν εἶεν αἱ γενέσεις αὗται ἀλλοιώσεις· ἔτι δὲ καὶ εἰπεῖν οὕτως ἄτοπον ἂν δόξειεν ἠλλοιῶσθαι τὸν ἄνθρωπον ἢ τὴν οἰκίαν, ἢ ἄλλο ὁτιοῦν τῶν γεγενημένων. Ἀλλὰ γίγνεσθαι μὲν ἴσως ἕκαστον ἀναγκαῖον ἀλλοιουμένου τινός, οἷον τῆς ὕλης πυκνουμένης ἢ μανουμένης, ἢ θερμαινομένης, ἢ ψυχομένης, οὐ μέντοι τὰ γιγνόμενά τε ἀλλοιοῦται, οὐδ' ἡ γένεσις αὐτῶν ἀλλοίωσίς ἐστιν».

17) Κατηγ. κεφ. ιδ΄. π. γεν. καὶ φθ. Α΄. β΄. 317 α. 20 κ. ε.

18) Π. γεν. κ. φθ. Α΄. δ΄. 319 β. 30 κ. ε.

19) Αὐτόθι 319 β. 10. «Ἀλλοίωσις μέν ἐστιν, ὅταν ὑπομένοντος τοῦ ὑποκειμένου αἰσθητοῦ ὄντος, μεταβάλλῃ ἐν τοῖς αὐτοῦ πάθεσιν, ἢ ἐναντίοις οὖσιν, ἢ μεταξύ, οἷον τὸ σῶμα ὑγιειαίνει καὶ πάλιν κάμνει ὑπομένων γε ταὐτό, καὶ ὁ χαλκὸς στρογγύλος, ὁτὲ δὲ γωνιοειδὴς ὁ αὐτός γε ὤν». Ἐν τῷ χαλκῷ πλὴν ἡ ἀλλοίωσις κατ' οὐσίαν, εἴπερ τὸ εἶδος καὶ ἡ μορφὴ οὐσία, ἐν δὲ τῷ ἀνθρώπῳ οὐσία ἡ αὐτή καὶ τὸ εἶδος, μεταβολή δὲ καὶ ἀλλοίωσις κατὰ πάθος. Ἐν ἀπόρῳ ἔχομαι ἐνταῦθα, καὶ οὐκ οἶδ' ὅπως ἀπαλλαγείην· ἐν γὰρ τῷ χαλκῷ ὑπόκειται μὲν μάζα τις ἄμορφος δυνάμει οὖσα εἴδη πολλά, οἷον εἰ μεταβάλλοι ἔσται νῦν μὲν τρίγωνον, αὖθις δὲ κύκλος, εἶτα τετράπλευρον καὶ ῥόμβος, καὶ ἀνδριὰς καὶ σκεῦος ὁτιοῦν, ταῦτα δ' οὐσίαι· τοὐναντίον δ' ἐν τῷ ἀνθρώπῳ πᾶσα κατὰ ποιὸν ἀλλοίωσις ἔσται κατὰ συμβεβηκός, τὴν οὐσίαν δ' ἀνάγκη τὴν αὐτὴν ἀεὶ εἶναι· τὸ γὰρ μουσικόν, καὶ νόσος, καὶ ὑγιεία, καὶ ἐπιστῆμον καὶ γραμματικὸν συμβεβηκότα καὶ πάθη. Ὥστε ἀλλοίωσις «ἐν τοῖς πάθεσι καὶ κατὰ συμβεβηκός» (ὅρ. κεφ. β΄. π. γεν. κ. φθ. 317 α. 26), καὶ ἀλλοίωσις κατ' οὐσίαν συμβαίνει· ἔσται δὴ διττὸν ἡ ἀλλοίωσις, μία μὲν ἡ πρὸς τὸ γενέσθαι τόδε τι καὶ εἶδος φέρον, ἑτέρα δ' ἡ πρὸς τὸ συμβαίνειν τι ἢ πάσχειν τόδε τι. Ἦ οὖν παρέφθαρται τὸ χωρίον, ἢ τὴν ἀλλοίωσιν ἐπὶ πολλῶν καὶ διαφόρων δεῖ λέγεσθαι.

ἡ ἐντελέχεια, ἢ τὸ ἐντελεχείᾳ τοῦτο συμβαῖνον τὸ πάθος ἐν ἐντελεχείᾳ ὄντι. Καὶ ἀλλοίωσις μὲν λεχθήσεται καὶ ἐπὶ τοῦ τόδε τι ἐκ τοῦ ὑποκειμένου ἀμόρφου, καὶ ἐπὶ πάθους τινὸς ἢ συμβεβηκότος τῷ τόδε τι. Ἀλλ᾽ οὔ τοί γε πάνυ προσῆκον τὴν νόσον ἢ πάθος τι ἐντελέχειαν καλεῖν· καλοῖτο δ᾽ ἂν ἡ νόσος ἐντελεχείᾳ, ἐν τῷ εἶναι καὶ ἐνεργεῖν, ἀλλ᾽ ἐν ἐκπεπτωκυίᾳ σημασίᾳ· ἐν γὰρ τῇ ἐντελεχείᾳ πρὸ πάντων τέλος, καὶ τέλος βέλτιστον νοεῖται. Τί μὲν οὖν ἐστιν ἐντελέχεια ἁπλῶς, καὶ πῶς ἀλλοίωσις εἴρηται· ἐπεὶ δὲ καὶ πρώτη ἐντελέχεια τέθειται, ταύτην νῦν ζητήσωμεν.

Κεφ. ιγ΄.

Ἡ πρώτη ἐντελέχεια.

§ 1. Ἐπεὶ τὸ ὂν πᾶν γίγνεται μεταβάλλον ἔκ τινος εἴς τι, ἀναγκαῖον καὶ περὶ γενέσεως πρῶτον ἀκριβέστερον διορίσαι, καὶ δὴ τῆς φυσικῆς. Διττὴν οὖν καὶ τὴν γένεσιν τίθησιν ὁ Ἀριστοτέλης, τὴν θ᾽ ἁπλῆν γένεσιν, καὶ τὴν γένεσιν. Καὶ ἁπλῆν μὲν γένεσιν καλεῖ τὴν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι μετάβασιν, ἢ τὴν ἐκ τῆς στερήσεως εἰς τὴν δύναμιν· τοῦτο δ᾽ ἐστὶν ἡ ἐκ τοῦ πρώτου ὑποκειμένου καὶ ἀοράτου, καὶ κατὰ στέρησιν ὄντος μεταβολή, εἰς τὴν ὕλην καὶ τὰ στοιχεῖα τὰ αἰσθητά, οἷον, γῆν, ὕδωρ, πῦρ, χυμούς, ἅ τρόπον τινὰ δυνάμει εἰσὶ τόδε ἢ ἐκεῖνο τὸ εἶδος, εἰσὶ μέντοι γ᾽ αἰσθητά· καὶ στερούμενα μὲν τοῦ εἴδους, οὐ μὴν ἁπλῆ στέρησις ὄντα, καὶ ὄντα μέν, ἀλλὰ τρόπον τινὰ οὐκ ὄντα, ὡς ἀμοιροῦντα εἴδους, ὕλη μὲν καὶ ὑποκείμενον καὶ δυνάμει ὄντα τόδε τι· αὕτη δ᾽ ἐστὶν ἡ πρώτη καὶ ἁπλῆ γένεσις ἐκ τῆς στερήσεως εἴς τι αἰσθητὸν καὶ ἄμορφον προϊοῦσα ἡ οὐχ ἁπλῶς ἁπλῆ καλουμένη γένεσις [1]), καὶ πρώτης ἐναντιώσεως ἡ ἕξις [2]). Γένεσις δὲ μόνῳ τῷ

---

[1]) Φυσ. Ε΄. α΄. 225 α. 12. «Ἡ μὲν οὖν οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον μεταβολὴ κατ᾽ ἀντίφασιν γένεσίς ἐστιν, ἡ μὲν ἁπλῶς ἁπλῆ» ὅρ. καὶ π. γεν. κ. φθ. Α΄. β΄. 317 α. 20. γ΄. 319 α. 3. δ΄. β. 14 κ. ε. Λέγοντες δ᾽ ἁπλῆν νοοῦμεν τὴν ἐκ τοῦ ἀοράτου καὶ ὑποκειμένου πᾶσι πρώτου στοιχείου εἰς τὰ αἰσθητὰ στοιχεῖα μεταβολήν. ὅρ. ἀνωτ. κεφ. ζ΄. § 3.

[2]) Μετ. Ι. δ΄. 1055 α. 28. «Πρώτη δ᾽ ἐναντίωσις ἕξις καὶ στέρησίς ἐστιν· οὐ πᾶσα δὲ στέρησις (πολλαχῶς γὰρ λέγεται ἡ στέρησις), ἀλλ᾽ ἥτις ἂν τελεία ᾖ· τὰ δ᾽ ἄλλα ἐναντία κατὰ ταῦτα λεχθήσεται, τὰ μὲν τῷ ἔχειν, τὰ δὲ τῷ ποιεῖν ἢ ποιητικὰ εἶναι, τὰ δὲ τῷ λήψεις εἶναι καὶ ἀποβολαὶ τούτων ἢ ἄλλως ἐναντίων». ἐξ οὗ κατάδηλον γίγνεται ὅτι ἡ ἐκ τῆς τελείας στερήσεως καὶ ἁπλῶς οὐκ ὄντος μετάβασις εἴς τινα ἕξιν καὶ ὄν τι ἡ ἁπλῆ γένεσίς ἐστιν· ὅρ. καὶ Ν. β΄. 1088 β. 17, καὶ τὰ περὶ ὕλης ἡμῖν διωρισμένα, καὶ Μετ. Λ. γ΄. Ὁμολογητέον μὴν ὅτι οὐκ ἐπακριβῶς πάμπαν τὰ περὶ γενέσεως τῷ Ἀριστ. τῆς ἁπλῶς πεπραγμάτευται· ἁπλῆ γαρ γένεσις καὶ ἡ ἐκ νόσου εἰς ὑγιείαν μεταβολή, καὶ ἡ ἐκ μέλανος εἰς λευκόν, οὐ ταὐτόν γέ μην τῇ ἐκ τελείας στερήσεως εἴς τινα ἕξιν· καὶ ἐκεῖ μὲν ἀόριστον ὅτε χρόνος καὶ τόπος, καὶ μεταβολὴ συνεχὴς εἰς

ῥήματι χρησάμενος τὴν ἐκ τῆς ἁπλῆς γενέσεως εἰς τόδε τι μεταβολήν, εἰς τοῦτο τὸ αἰσθητόν, αἰσθητόν δ᾽ οὐκ ἄμοιρον εἴδους ἀλλ᾽ εἶδος τι φέρον, ὅτ᾽ ἔσται ταὐτὸν τῇ ἐντελεχείᾳ [3]). Ὥστ᾽ ἔσται ἡ δευτέρα, ὡς εἰπεῖν, γένεσις ἡ αὐτὴ τῇ ἐντελεχείᾳ καθόλου [4])· γένεσις ἐξ ἀμόρφου μέν, ἀλλ᾽ αἰσθητοῦ καὶ ὑποκειμένου παντὶ φυσικῷ ὄντι, καὶ τοῦτό ἐστι τὸ γιγνόμενον **ἔκ τινός τι** [5]). Συμφώνος οὖν τοῖς περὶ κινήσεως εἰρημένοις, ἔσται ἡ γένεσις καὶ φθορὰ κινήσεις, ἀλλὰ κινήσεις κατ᾽ οὐσίαν, εἴπερ ἡ οὐσία τὸ εἶδος, τό δ᾽ εἶδος ἐκ τῆς γενέσεως προάγεται, φθορὰ δὲ τοῦ εἴδους ἡ εἰς τὸ ἐναντίον μεταβολή. Ὥστε καλῶς ἔχει ὅτι «**ἡ γένεσις εἰς τοὐναντίον**», ἐξ ἀμόρφου εἰς μορφὴν ἔχον [6]).

§ 2. Διώρισται μὲν οὖν ὅτι κινήσει γίγνεται τὰ γιγνόμενα, κινήσεων δ᾽ ἡ πρώτη ἀπροσδιόριστος, ἐκ τοῦ πρώτου κινοῦντος δὲ καὶ οὗ ἕνεκα, ἐκ δὲ τῆς πρώτης κινήσεως ἡ ἁπλῆ γένεσις, ὡς ἕξις τις ἐκ στερήσεως, ἐκ τῆς ἁπλῆς δὲ γενέσεως τῆς ἀορίστου καὶ ἀμόρφου, ἡ δευτέρα γένεσις, τὸ ὡρισμένον καὶ καθ᾽ ἕκαστον εἶδος καὶ τέλος τῶν φύσει ὄντων. Εἰ δ᾽ ἡ φύσις τὸ τέλος καὶ οὗ ἕνεκα, τὸ δὲ τέλος ἡ γένεσις, καὶ πᾶν τὸ γιγνόμενον οἴσει τι τέλος, ἄριστ᾽ ἂν τὸ γιγνόμενον ἐντελέχεια κληθείη, ὡς ἐν ἑαυτῷ τὸ τέλος φέρον [7]). Ταύτῃ οὖν ζητοῦντες, ἐν αὐτῇ τῇ γενέσει καὶ ταύτης τῇ ἀρχῇ, καὶ ἀναλογιζόμενοι, πρῶτον νοοῦμεν κίνησιν, ἅμα δὲ καὶ ἁφήν, εἰ ἄνευ τοῦ θιγεῖν οὐκ ἔσται κίνησις, εἶτα δὲ μίξιν, αλλὰ πάντα κατὰ λόγον· καὶ ὑπὸ τοῦ ποιητικοῦ τοῦ πρώτου, τοῦτο δ᾽ ἐστὶ τὸ εἶδος, ταὐτὸ δὲ καὶ πρῶτον κινοῦν, τἆλλα δὲ τούτου ἕνεκεν [8]) καὶ

οὐσίαν, ἐνταῦθα δὲ ἐν τῷδε τῷ χρόνῳ γνωστῷ ὄντι καὶ τῷδε τῷ ἀντικειμένῳ, ἀνθρώπῳ ἤ τινι ἑτέρῳ ὄντι. Ἀλλὰ ταῦτα οὐκ ἔσται γένεσις· ὑπομένει γὰρ ταὐτὸ ὑποκείμενον· καὶ τοῦτο ἐπήνεγκε τὴν ἀνάγκην, ὡς δοκεῖ, ἀλλοιώσεις αὐτὰ καλεῖν, καὶ διακρίνειν τῆς γενέσεως.

[3]) Π. γεν, κ. φθ. Α΄. ε΄. 320 α. 13. «ἐκ δυνάμει οὐσίας εἰς εντελεχείᾳ οὐσίαν γένεσίς ἐστιν».

[4]) Σημειωτέον ὅτι ἄλλως ἐν τοῖς τεχνητοῖς ἕξει τὸ πρᾶγμα· ἐν γὰρ τοῖς φυσικοῖς γίγνεταί τι ἐξ ἀμόρφου καὶ μάζας τινὸς αἰσθητῆς· ἐν δὲ τοῖς τεχνητοῖς οὐκ ἀεί. ἐκ γὰρ τοῦ σωροῦ τοῦ πηλοῦ ποιεῖ ὁ κεραμεὺς ποικίλα, ἀλλὰ καὶ ὁ ξυλουργὸς ἐξ εἰδῶν καὶ ἐντελεχείᾳ ὄντων ξύλων ποιεῖ· ὁ μεταλλουργὸς αὖθις ποιεῖ τὸν αὐτὸν χρυσὸν ἢ χαλκὸν ἢ μόλυβδον, νῦν μὲν τρίγωνον, εἶτα δὲ κύκλον, καὶ αὖθις σκεῦός τι, φθείρων τὴν μορφὴν καὶ ἄλλην ἐπάγων.

[5]) Φυσ. Ε΄. α΄. 225 α. 14 π. γεν. κ. φθ. Α΄. δ΄. 319 β. 33.

[6]) π. γεν. κ. φθ. Α΄. ζ΄. 326 α. 12.

[7]) Μετ. Δ. δ΄. 1015 α. 7. «Φύσις δὲ ἥ τε πρώτη ὕλη, καὶ αὕτη διχῶς, ἢ ἡ πρὸς αυτὸ πρώτη, ἢ ἡ ὅλως πρώτη (οἷον τῶν χαλκῶν ἔργων, πρὸς αὐτὰ μὲν πρῶτος ὁ χαλκός, ὅλως δ᾽ ἴσως ὕδωρ, εἰ πάντα τὰ τηκτὰ ὕδωρ), καὶ τὸ εἶδος, καὶ ἡ οὐσία, τοῦτο δ᾽ ἐστὶ τὸ τέλος τῆς γενέσεως». Ὅθεν ἐναργέστερον τὰ περὶ τῆς ὕλης καὶ γενέσεως, καθ᾽ ἃ ἔσται πρώτη καὶ ἁπλῆ γένεσις, ὁ χαλκός, ἢ ἡ γῆ, ἤ τι ἕτερον, δευτέρα δὲ ἡ μορφή, ἡ καθ᾽ ἕκαστον οὐσία.

[8]) Περὶ ἁφῆς ὅρ. π. γεν. κ. φθ. Α΄. στ΄. περὶ δὲ τοῦ ποιεῖν καὶ πάσχειν ζ΄. περὶ δὲ μίξεως ἐν τῷ ι΄. κεφ. ἥτις ὥρισται «τῶν μικτῶν ἀλλοιωθέντων ἕνωσις», τοῦτο

ἐν τῇ ὕλῃ, τὸ δ' εἶδος ἀπαϑές. Συνομολογῶν δὲ τοῖς πρότερον ὁ 'Αριστ. τὴν ὑποκειμένην ὕλην στοιχεῖα καλεῖ[9]), εἶτα δὲ τίϑησι τὰς ἐναντιώσεις τοῦ ϑερμοῦ καὶ ψυχροῦ, «ὥστε πρῶτον μὲν τὸ δυνάμει σῶμα αἰσϑητὸν ἀρχή, δεύτερον δ' αἱ ἐναντιώσεις, λέγω δ' οἷον ϑερμότης καὶ ψυχρότης, τρίτον δ' ἤδη πῦρ καὶ ὕδωρ καὶ τὰ τοιαῦτα»[10]), τὰ δὲ στοιχεῖα ποιητικὰ ἀλλήλων καὶ παϑητικά[11]), ὡς διάφορα, αἱ δὲ διαφοραὶ ἐναντία, ἐκ τῶν ἐναντίων δὲ πᾶσα μεταβολή[12]). 'Αλλὰ ζητῶν τὸ συνέχον τὰς ἐναντιότητας ταύτας οὐχ εὑρίσκει αὐτό, καὶ τὴν ψυχὴν ἕτερόν τι φησὶν εἶναι παρὰ ταύτας[13]), τὸ πῦρ δὲ μόνον φησὶ καὶ μάλιστα τοῦ εἴδους εἶναι, ὡς αὐτὸ μόνον τρεφόμενον (τὸ δὲ τρεφόμενον καὶ συνειλημμένον τῇ ὕλῃ ἐστὶ τὸ εἶδος καὶ ἡ μορφή), καὶ πεφυκὸς εἰς τὴν ἑαυτοῦ χώραν φέρεσϑαι καὶ πρὸς τὸν ὅρον[14]). Εἶτα δ' αὖ τὴν γένεσιν καὶ φϑορὰν περὶ τὸ δυνατὸν γενέσϑαι καὶ μὴ τίϑησιν[15]), διὸ καὶ ἡ ἀνάγκη τῆς κινήσεως πρὸς τὸ γενέσϑαι τόδε τι[16]). Καὶ πάλιν εἰς τὴν κίνησιν προστρέχει. Τῶν κινήσεων δὴ πρώτη ἡ φορά, ἥτις ἐστὶν ἡ κατὰ τόπον κίνησις καὶ αἰτία τῆς ἀλλοιώσεως· πάντα γὰρ συκρινόμενα καὶ διακρινόμενα ἀνάγκη κατὰ τόπον μεταβάλλειν· τῇ δ' ἀλλοιώσει ἕπεται ἡ αὔξησις καὶ φϑίσις· ἀνάγκη γὰρ πρότερον ἀλλοιωϑέντος τινὸς αὔξειν ἢ φϑίνειν· 'Αλλ' εἰ φορὰ μόνον ἦν, ἔδει καὶ τὴν γένεσιν ἀεὶ εἶναι· ἡ γὰρ φορὰ συνεχὴς καὶ ἀΐδιος, φϑορὰν δὲ μηδὲ τὸ παράπαν εἶναι. «Τὸ γὰρ αὐτὸ καὶ ὡσαύτως ἔχον ἀεὶ τὸ αὐτὸ πέφυκε ποιεῖν. Ὥστε ἤτοι γένεσις ἀεὶ ἔσται, ἢ φϑορά». Δεῖ δὲ πλείους εἶναι τὰς κινήσεις καὶ ἐναντίας, ἢ τῇ φορᾷ ἢ τῇ ἀνωμαλίᾳ· τῶν γὰρ ἐναντίων τἀναντία αἴτια. Διὸ καὶ οὐχ ἡ πρώτη φορὰ αἰτία ἐστὶ γενέσεως καὶ φϑορᾶς, ἀλλ' ἡ κατὰ τὸν λοξὸν κύκλον· ἐν ταύτῃ γὰρ καὶ τὸ συνεχές ἐστι, καὶ τὸ κινεῖσϑαι δύο κινήσεις· ἀνάγκη γάρ, εἴγε ἀεὶ ἔσται συνεχὴς γένεσις καὶ φϑορά, ἀεὶ μέν τι κινεῖσϑαι, ἵνα μὴ ἐπιλείπωσιν αὗται αἱ μεταβολαί, δύο δ' ὅπως μὴ ϑάτερον συμβαίνῃ μόνον. Τῆς μὲν οὖν συνεχείας ἡ τοῦ ὅλου φορὰ αἰτία, τοῦ δὲ προσιέναι ἢ ἀπιέναι ἡ ἔγκλισις· συμβαίνει γὰρ ὁτὲ μὲν πόρρω γίγνεσϑαι, ὁτὲ δ'

δ' ἐκ τοῦ πρώτου κινοῦντος καὶ ποιητικοῦ, ὅτε ἄρχεται ἡ ἀλλοίωσις ἅμα δὲ καὶ τὸ εἶδος τὸ σύνϑετον· πρῶτον οὖν κίνησις, ἅμα δ' ἀφή, εἶτα δ' ἀλλοίωσις ἡ ἀρχὴ τῆς ἐντελεχείας.

9) Π. γεν. κ. φϑ. Β'. α'. 329 α. 6. «ἐξ ὧν μεταβαλλόντων ἢ κατὰ σύγκρισιν καὶ διάκρισιν, ἢ κατ' ἄλλην μεταβολήν, συμβαίνει γένεσιν εἶναι καὶ φϑοράν».

10) αὐτόϑι 329 α. 32.

11) αὐτ. β'. 329 β. 22.

12) αὐτ. γ'. καὶ δ'. 331 α. 14.

13) αὐτ. στ'. 334 α. 9—ζ'. α. 1.

14) αὐτ. η'. 335 α. 14. κ. ε.

15) αὐτ. ϑ'. 335 β. 4.

16) αὐτ. ϑ'. φησὶν ὅτι αἱ γενέσεις «εἰσὶ καὶ τὸν ἀριϑμὸν ἴσαι, καὶ τῷ γένει αἱ αὐταί, αἵπερ ἐν τοῖς ἀϊδίοις»· ἀλλὰ ταῦτα παραπλήσια ταῖς ἰδέαις τοῦ Πλάτωνος· τίνα γὰρ ταῦτα τὰ ἀΐδια καὶ πρῶτα; καὶ ἀκίνητα, ἢ χωριστά, ἢ ἐν τῷ νῷ περιείληπται; τοδί μᾶλλον δοκεῖ, ὡς ὡρισμένα ὑπὸ τοῦ νοῦ, τῆς μόνης καὶ πρώτης ἀρχῆς καὶ αἰτίας παντὸς ὄντος, οὐ μὴν καὶ αὐϑυπόστατά τινα.

ἐγγύς. 'Ανίσου δὲ τοῦ διαστήματος ὄντος, ἀνώμαλος ἔσται ἡ κίνησις. Ὥστε ἐν τῷ προσιέναι καὶ ἐγγὺς εἶναι γεννᾷ, τῷ ἀπιέναι ταὐτὸν τοῦτο καὶ πόρρω γίγνεσϑαι φϑείρει· καὶ εἰ τῷ πολλάκις προσιέναι γεννᾷ, καὶ τῷ πολλάκις ἀπιέναι φϑείρει· τῶν γὰρ ἐναντίων τὰ ἐναντία αἴτια»[17]). Οὕτως οὖν ὁ 'Αριστοτέλης· καϑορῶν ὅτι ἀδύνατον τὴν φορὰν μόνην αἰτίαν τῆς γενέσεως εἶναι· ἡ γὰρ φορὰ μία καὶ συνεχὴς κίνησις, τὰ δὲ γιγνόμενα πολλῶν καὶ ἀνωμάλων κινήσεων χρῄζει, τὴν ἀρχὴν τῶν κινήσεων τούτων ἐν τῷ λοξῷ κύκλῳ εὑρίσκει, τῇ νῦν καλουμένῃ Εκλειπτικῇ, πρὸς τοῦτο δὲ τὴν αἴσϑησιν βοηϑὸν συμπαραλαμβάνει, δεικνῦσαν αὐτῷ ὅτι προσιόντος μὲν τοῦ Ἡλίου γένεσις, ἀπιόντος δὲ φϑορά[18]).

§ 3. Μέχρι μὲν οὖν ἐνταῦϑα διώρισται ὅτι πρὸς τὸ γενέσϑαι τι ἀνάγκη πρῶτον φορᾶς τῆς πρώτης καὶ ἀρχικῆς αἰτίας, εἶτα δὲ τῶν στοιχείων ἐκ τῆς ὑποκειμένης τοῖς ἐναντίοις πρώτης ὕλης, ἐν οἷς καὶ ἡ ἐναντιότης τῆς ϑερμότητος καὶ ψυχρότητος, ἔσχατον δ' ἡ 'Εκλειπτικὴ πρὸς τὸ προσάγειν καὶ ἀπάγειν τὸ γεννητικόν, ἢ ὁ ἥλιος, ὡς ἀλλαχοῦ φησιν. Πάντα οὖν ταῦτα αἴτια, μᾶλλον δὲ καὶ κυρίως δόξειεν ἂν τὸ γεννητικὸν εἶναι, τί δ' ἐστι τοῦτο τὸ γεννητικόν; ἔστι τι ἐκ τῆς ὑπὸ τῆς φορᾶς συγκρίσεως καὶ διακρίσεως παρασκευσϑέν, ἢ ἔστι τι παρὰ ταῦτα; ἢ τῆς ϑερμότητος αὖ ἐνέργειά τις καὶ ψυχρότητος, ἢ συγκρασίς τις; Ταῦτα οὐ σαφῶς ἐν τῷ π. γεν, κ. φϑορ. αὐτῷ ἐξηρεύνηται, ἱκανὸν δὲ δοκεῖ, ἐπεὶ τέλος τι ἐν πᾶσι καὶ τοῦτο βέλτιστον, αἱ δὲ γενέσεις τέλος ἔχουσαι, πᾶσαι δ' ἐκ τῆς πρώτης κινήσεως τῆς κύκλῳ φορᾶς, αὕτη δὲ τοῦ πρῶτον κινοῦντος ἀκινήτου, τοῦτο τὸ πρῶτον κινοῦν εἶναι τὸ διακοσμῆσαν τὸ πᾶν, καὶ ἐντελῆ ποιῆσαν τὴν γένεσιν[19]). Θεὸς οὖν ὁ πρῶτον κινῶν καὶ τέλος ϑεὶς ἐν παντὶ τῷ γιγνομένῳ, ὃ ἔσται ἐνδελεχῶς, εἰ αἱ κινήσεις ἐνδελεχεῖς ἐκ τοῦ ἀεὶ ὄντος ἀγεννήτου καὶ ἀναλλοιώτου, καὶ

---

17) Π. γεν. κ. φϑ. Β'. ι'. 336 α. 15. κ. ε.

18) «Φαίνεται δὲ καὶ κατὰ αἴσϑησιν ὁμολογούμενα τοῖς παρ' ἡμῖν λόγοις· ὁρῶμεν γὰρ ὅτι προσιόντος μὲν τοῦ ἡλίου γένεσίς ἐστιν, ἀπιόντος δὲ φϑίσις, καὶ ἐν ἴσῳ χρόνῳ ἑκάτερον.» Εἰ δὲ ταῦτα οὕτως ἔχει, ἤτοι τὴν φοράν, ἢ τὴν ἐκλειπτικὴν προσάγειν καὶ ἀπάγειν χρή· ἂν γὰρ τὸ ἓν τεϑῇ τὸ ἕτερον ἀρϑήσεται, καὶ τὸ ἕτερον ἀληϑὲς ἔσται οὐ μὴν δ' ἑκάτερον· πῶς οὖν ἀνωτέρω φησίν ὅτι «ἡ φορὰ ποιήσει τὴν γένεσιν ἐνδελεχῶς διὰ τὸ προσάγειν καὶ ἀπάγειν τὸ γεννητικόν»; εἰ δέ τοῦτο, τὶς ἡ τῆς Εκλειπτικῆς ἀνάγκη; μή τι παραλογίζεται; οὐδαμῶς! οὗτος δ' ἐστὶν ὁ νοῦς. Εἰ ἡ φορὰ συνεχὴς καὶ πρώτη, ἐνδελεχὴς ἔσται καὶ ἡ γένεσις· ἀλλ' ἐνταῦϑα προσαγωγὴ καὶ ἀπαγωγὴ τοῦ γεννητικοῦ καϑορᾶται, καὶ δύο κινήσεις ἐναντίαι, ἡ δέ φορὰ μία καὶ ἡ αὐτή, ἀΐδιος· τὶ οὖν τὸ ἐναντίων πρόξενον κινήσεων, ἡ ἐκλειπτικὴ δἰ ἐπαγωγῆς ἀνακαλυπτομένη. Αὐτόϑι.

19) π. γεν. κ. φϑ. Β'. ι'. 336 β. 27. «Ἐπεὶ γὰρ ἐν ἅπασιν ἀεὶ τοῦ βελτίονος ὀρέγεσϑαι φαμὲν τὴν φύσιν, βέλτιον δὲ τὸ εἶναι ἢ τὸ μὴ εἶναι .... τοῦτο δ' ἀδύνατον ἐν ἅπασιν ὑπάρχειν διὰ τὸ πόρρω τῆς ἀρχῆς ἀφίστασϑαι τῷ λειπομένῳ τρόπῳ συνεπλήρωσε τὸ ὅλον ὁ ϑεὸς ἐντελεχῆ ποιήσας τὴν γένεσιν· οὕτω γὰρ ἂν μάλιστα συνείροιτο τὸ εἶναι διὰ τὸ ἐγγύτατα εἶναι τῆς οὐσίας τὸ γίνεσϑαι ἀεὶ καὶ τὴν γένεσιν».

ἐξ ἀνάγκης πᾶσα γένεσις καὶ ἡ αὐτὴ ἀριθμῷ μὲν οὔ, εἴδει δέ[20]). Τί οὖν ἐστιν ἐντελέχεια; ἐκ τῶν ἀνωτέρω ἔσται οὐδὲν ἕτερον ἢ ἡ δημιουργικὴ τοῦ θείου δύναμις, ἡ πρὸς τὸ βέλτιστον τέλος τῇ ἐνδελεχεῖ κινήσει ἐκ τῶν στοιχείων δημιουργοῦσα πᾶν ὄν. Γίγνεται δὲ πᾶν ἐντελεχείᾳ ἐκ τῶν στοιχείων, καὶ φθείρεται εἰς ταῦτα ἐπανακάμπτον ἐνδελεχῶς, καὶ οὕτως ἀεὶ ὄν, οὐκ ἀριθμῷ ἀλλ' εἴδει.

Πάλιν οὖν οἱονεὶ διαδιδράσκοντες τὰ στοιχεῖα καὶ τὴν ὕλην καὶ ἀδυνατοῦντες ἐν τῇ δίνῃ τῶν στοιχείων καὶ τῇ μεστῇ ταραχῆς ὕλῃ, ἀναγόμεθα πρὸς τὸ θεῖον, ἀρχιτέκτονα τοῦτο ἐπάγοντες, καθὸ ἀποκάμνοντες καὶ ἀπειρηκότες πρὸς τὴν περαιτέρω ζήτησιν. Οὐ μέντοι γ' οὕτω καὶ ἡ ἀκόρεστος ἐκείνη τοῦ Ἀριστοτέλους ἔφεσις, ἀλλ' ἀκμαία προβαίνει μέχρι τῶν τοῖς πάλαι ἀδύτων ἀρχῶν, κακεῖ πρώτην αἰτίαν καὶ ποιητικὴν τὰς ἐναντιότητας τοῦ θερμοῦ καὶ ψυχροῦ εὑρίσκει, τὸ μὲν θερμόν ὡς ἕξιν τινά, τὸ ψυχρὸν δὲ στέρησιν τῆς ἕξεως ταύτης. Καὶ αὐτὸ μὲν καθ' αὑτὸ τὸ θερμὸν ἀδυνατεῖ ὁρίσαι (καθὰ καὶ πάντες οἱ μετ' αὐτόν), τάς δ' ἐνεργείας αὐτοῦ· ἰδίᾳ δὲ ἑλκτικὴν αὐτῷ ἀποδίδωσιν ἐνέργειαν καὶ συνιστᾶσαν. Ἐπεὶ δὲ τὸ ἕτερον τῆς ἐναντιότητος οὐ πάντῃ καὶ ἁπλῶς ἀπολεῖπον, ἀλλ' ὄν τι αὄριστον ἐν τοῖς παθητικοῖς τῷ ὑγρῷ καὶ ξηρῷ, κυρίως τὸ θερμὸν ἂν εἴη τὸ ποιητικὸν ὡς συνεφέλκον καὶ συγκρῖνον. Τί οὖν ἐστι τὸ θερμὸν καθ' αὑτὸ οὐχ ὡρίσατο, τὴν δ' ἐπαγωγὴν ὡς πίστιν ἀμετάπτωτον παραλαβών, ἀρχὴν αὐτὸ ὁρίζουσαν, καὶ συμφύουσαν καὶ μεταβάλλουσαν τὰ ὁμογενῆ καὶ μὴ[21]) τίθησιν, ἀκριβέστερον δὲ τὴν πέψιν αὐτοῦ ἔργον ἴδιον συγκρίνον καὶ τελειοῦν τ' ἀντικείμενα παθητικά[22]), τὸ ξηρὸν καὶ τὸ ὑγρόν, τίθησιν. Ἐκ τούτων οὖν ἔχομεν ἀρχὴν πρώτην τὸ θερμὸν τὸ παρασκευάζον τὴν πέψιν ἐκ τῶν ἑτέρων στοιχείων[23]). Ἀλλ' ἡ πέψις τετελειωμένη ἔστι τι ἄμορφον καὶ ὡς ὕλη, ἑτέρα δέ τις δύναμις ἔξωθεν ἡ χρωμένη ταύτῃ πρός τι τέλος, πρὸς τὸ τρέφεσθαι καὶ μεταβαίνειν εἴς τι ὡρισμένον εἶδος· ταύτην δὲ τὴν δύ-

---

20) Αὐτόθι κεφ. ια΄. Ἐκ τούτων δ' αὖ φανερὸν ὅτι ἕτερον ἐνδελέχεια ἐντελεχείας, καὶ ὕστερον ἡ ἐντελέχεια· ἐνδελεχὴς γὰρ ἡ φορά ἐστιν, οὔπω μέντοι ἐντελέχεια, ἀλλ' ἐκ τῆς πρώτης ἀρχῆς ἁπλῆ κατὰ τόπον μεταβολή· ἡ δ' ἐντελέχεια καὶ ἑτέρων ἀρχῶν δεῖται, καὶ ἐναντίων, καὶ ἐνδελεχὴς μὲν καὶ αὕτη, ἀλλ' ἄλλως ἔχει καὶ τὸ τέλος ἐστὶ τῆς φορᾶς, προηγουμένης τῆς συνδρομῆς στοιχείων καὶ τοῦ Ἡλίου.

21) Μετεωρ. Δ΄. α΄. 378 β. 10 κ. ε. περὶ μόνου δέ τοῦ θερμοῦ ποιούμεθα λόγον, τούτῳ γὰρ τὸ ψυχρὸν ὁρίζεται.

22) Αὐτόθι β΄. 379 β. 12. «Ἔστι δὲ θερμοῦ μὲν πέψις . . . ψυχρότητος δὲ ἀπεψία . . . πέψις μὲν οὖν ἐστι τελείωσις ὑπὸ τοῦ φυσικοῦ καὶ οἰκείου θερμοῦ ἐκ τῶν ἀντικειμένων παθητικῶν· ταῦτα δ' ἐστὶν ἡ οἰκεία ἑκάστῳ ὕλη. ὅταν γὰρ πεφθῇ τετελείωταί τε καὶ γέγονε, καὶ ἡ ἀρχὴ τῆς τελειότητος ὑπὸ θερμότητος τῆς οἰκείας συμβαίνει, κᾂν διά τινος τῶν ἐκτὸς βοηθείας συνεπιτελεσθῇ».

23) Εἰκότως ἄν τις ἀπορήσειεν, εἰ τὸ θερμὸν ὡς τὸ πρῶτον κινοῦν λάβοι, δοκεῖ δὲ δεύτερον, τρόπον δέ τινα καὶ ταὐτόν, εἰ θερμὸν τὸ πῦρ, τὸ δὲ πρὸς τὸν ὅρον ἔρχεσθαι πέφυκεν.

ναμιν φύσιν ὁ Ἀριστ. καλεῖ· φύσιν δέ, ὡς εἶδος καὶ οὐσίαν[24]). Πρώτη οὖν ἀρχὴ τὸ θερμόν, ᾧ, ἀλλοίωσίς τις ἐν τοῖς στοιχείοις ἐπέρχεται καὶ παρασκευάζεταί τι οὔπω ὡρισμένον εἶδος ἔχον, ἀλλὰ δυνάμει ὂν οὐσία καὶ εἶδος, ὅ ἐστιν ἡ ἁπλῆ γένεσις συμφώνως τοῖς ἀρτίως περὶ ἁπλῆς γενέσεως εἰρημένοις[25]). Ἀλλ' ἀνωτέρω ἁπλῆ γένεσις διώρισται, ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι μετάβασις, τὸ εἶναι δὲ τοῦτο ἄμορφον καὶ ὑποκείμενον παντὶ εἴδει, καὶ τῇδε μὲν ταὐτό, ἄλλῃ δ' οὐ ταὐτό· καὶ ἐκείνη μὲν ἐξ οὐκ ὄντος, καὶ εἰ ὄντος, ἀοράτου γε μήν, αὕτη δ' ἐξ ὁρατοῦ τοῦδε τοῦ σκληροῦ καὶ ὑγροῦ, ἕτερόν τι παραγαγοῦσα, καὶ δευτέρα κατὰ χρόνον, οὔπω δ' ἐντελέχεια· κακῶς ἄρ' ἐκλήθη ἡ δευτέρα γένεσις ἐντελέχεια; ἡ γὰρ ἐντελέχεια καὶ εἶδός τι οἴσει· κατὰ τάδε δ' ἔσται καὶ τρίτη γένεσις;[26]) Ἀλλ' οὐχ οὕτως ἐνταῦθα· οὐ κεχώρισται γὰρ ἡ πέψις τοῦ ἐντελεχείᾳ ὄντος, ἀλλ' ἔστιν οἱονεὶ ἡ πρώτη κίνησις, ἀτελὴς οὖσα, ἐνδελεχῶς δ' ἐνεργοῦσα, καὶ κατὰ μικρὸν ἀπεργάζεται οὕτω ἡ πρώτη ἐντελέχεια, τῆς φύσεως καὶ τοῦ εἴδους συνδραμόντος. Διὸ καὶ οὐ τὴν πέψιν αὐτήν, ἀλλὰ τὴν πέπανσιν τελείαν τίθησιν, τὴν δὲ πέψιν, τελείωσίν τινα καλεῖ, καθὸ πεφυκυῖαν τελειοῦσθαι καὶ ἐνεργοῦσαν μέχρις οὗ πεπανθῇ τι τελέως, καὶ δυνηθῇ ποιῆσαι ἕτερον οἷον αὐτό[27]). Ὥστε οὐκ ἔσται ἑτέρα τις παρὰ ταύτην γένεσις, γένεσις δ' οὐ παντάπασι τελεία, ἀλλ' ἀρχὴ οὕτως εἰπεῖν πρὸς τὸ γίγνεσθαί τι, ἡ πρώτη καὶ ἀτελὴς κίνησις πρὸς παρασκευὴν τῆς ὕλης πρὸς τόδε τὸ εἶδος[28]).

Τοιαύτης οὖν οὔσης τῆς πέψεως, οὐκ ἂν πολλῷ ἀπέχοι τοῦ τὴν αὐτὴν εἶναι τῇ ἀλλοιώσει· καθάπερ γὰρ ἐν τῇ ἀλλοιώσει ἀλλοιοῦταί τι, οὐ μέντοι πω τόδε τι τετελεσμένον ἐστίν, οὕτω καὶ ἐν τῇ πέψει, ἠλλοίωται

---

24) Αὐτόθι 379 β. 24. «Ἀλλ' ἥ γε ἀρχὴ ἡ ἐν αὐτῷ θερμότης ἐστίν, τὸ δὲ τέλος τοῖς μὲν ἡ φύσις ἐστίν, φύσις δὲ ἣν λέγομεν ὡς εἶδος καὶ οὐσίαν. τοῖς δ' εἰς ὑποκειμένην τινὰ μορφὴν τὸ τέλος ἐστὶ τῆς πέψεως, ὅταν τοιονδί γένηται ἢ τοσονδί, ἢ ὀπτώμενον, ἢ ἑψόμενον, ἢ σηπόμενον, ἢ ἄλλως πως θερμαινόμενον».

25) Ἰστέον δ' ὅτι φθορὰν ὁ Ἀριστ. τὴν σῆψιν καλεῖ. «Σῆψις δ' ἐστὶ φθορὰ τῆς ἐν ἑκάστῳ ὑγρῷ οἰκείας καὶ κατὰ φύσιν θερμότητος», ὅ καὶ ἐναντίον φησὶ τῇ ἁπλῇ γενέσει. Αὐτόθ. 379 α. 3 καὶ 16.

26) Ἴσως ἄν τις ὧδε ἔροιτο· τὴν γένεσιν καὶ φθορὰν κινήσεις τῆς οὐσίας ὁ Ἀριστ. ἔθετο, εἰ δὲ τοῦτο, καὶ πᾶσα γένεσις ἕξει τι εἶδος, εἴπερ τὸ εἶδος οὐσία· πῶς οὖν ὁ Ἀριστ. τὴν ἐκ τοῦ ἀοράτου καὶ ὑποκειμένου πᾶσι τοῖς τέσσαρσι στοιχείοις εἰς τὸ ὁρατὸν ἀλλ' ἄμορφον γένεσιν καλεῖ; λέγομεν οὖν ὅτι τούτου δὴ ἕνεκεν καὶ τό, ἁπλῆ τέθεικεν, ἁπλῆν κεκληκὼς αὐτὴν καθὸ ἐξ ἐμμονῆς τῆς κινήσεως προελθοῦσαν, ἀλλ' οὐχ ὡρισμένην καὶ τόδε τι τὸ εἶδος φέρουσαν.

27) Αὐτόθι κεφ. γ΄. 380 α. 11 «πέπανσις δ' ἐστὶ πέψις τις· ἡ γάρ ἐν τοῖς περικαρπίοις τροφῆς πέψις πέπανσις λέγεται. Ἐπεί δ' ἡ πέψις τελείωσίς τις, τότε ἡ πέπανσις τελεία ἐστίν, ὅταν τὰ ἐν τῷ περικαρπίῳ σπέρματα δύνωνται ἀποτελεῖν τοιοῦτον ἕτερον οἷον αὐτό». Οὐχρεία δ' εἰπεῖν ὅτι ταῦτα πρὸς τὸ γεγενημένον οὐκ εἴρηται, ἀλλὰ πρὸς τὸ γενησόμενον.

28) Οὐκ ἂν ἀστόχως τις τὸ μὲν θερμὸν πρὸς τὸ πῦρ τοῦ τεχνήτου εἰκάσειε, τὴν δὲ πέψιν πρὸς τὴν παρασκευαζομένην ὕλην πρὸς κατασκευὴν τῶν τῆς τέχνης προϊόντων, οἷον μόλυβδος διαλελυμένος ὃν εἰδοποιεῖ ἡ περαιτέρω τοῦ τεχνίτου ἐνέργεια κατὰ μικρὸν ἕκαστον τελειοῦσα.

μὲν τῇ τοῦ θερμοῦ ἐνεργείᾳ τὰ ἕτερα στοιχεῖα καὶ παρεσκεύασταί τι ἕτερον παρὰ ταῦτα, ἀλλ' οὔπω ὡρισμένον τι εἶδος γέγονεν, δυνάμει δ' ἐστὶ σὰρξ ἢ ὀστοῦν καὶ τὰ τοιαῦτα, πεφυκὸς δ' εἰς ταῦτα μεταβάλλειν. Ἐν δὲ τῷ μεταβάλλειν ποίησις καὶ πάθησις· ποίησις μὲν καθὸ σὰρξ ἢ ὀστοῦν γιγνόμενον, ἡ δὲ πάθησις ἐν τῇ μεταβολῇ. Ἀλλ' ἡ μεταβολὴ αὕτη, εἶδός τι ἔσται καὶ ἐντελές τι· ὥστε κάλλιστ' ἂν ἁρμόζοι ταῦτα τοῖς περὶ ἐντελεχείας εἰρημένοις, ὅτι αὕτη ἔσται ἀλλοίωσις ἡ τοῦ δυνάμει ποιητικοῦ καὶ παθητικοῦ.

§ 4. Τέθειται οὖν τὸ θερμὸν ποιητικὸν καὶ παρασκευάζον τὴν πέψιν· ἀλλ' αὐτὸ ἐμμένον καὶ ἐνεργοῦν ἐνδελεχῶς ἐστι καὶ τὸ τελειοῦν, καὶ τὰ πάμπολλα εἴδη ἐν τοῖς οὖσιν ἐργαζόμενον, ἢ ἕτερόν τι ἐστὶ τὸ δημιουργοῦν καὶ ῥυθμίζον τὰ καθ' ἕκαστα τῶν εἰδῶν; Πρὸς ταῦτα ἔδοξεν ἡμῖν αὐτὰ τοῦ Ἀριστοτέλους τὰ ῥήματα παραθέσθαι. Αὐτός οὖν ἐν τῷ, περὶ πνεύματος κεφ. θ'. φησίν· «Οἱ ἀναιροῦντες ὡς οὐ τὸ θερμὸν τὸ ἐργαζόμενον ἐν τοῖς σώμασιν, ἢ ὅτι μία τις φορὰ καὶ δύναμις ἡ τμητικὴ τοῦ πυρός, οὐ καλῶς λέγουσιν· οὐδὲ γὰρ ὅλα τοῖς ἀψύχοις ταὐτὸ ποιεῖ πᾶσιν, ἀλλὰ τὰ μὲν πυκνοῖ, τὰ δὲ μανοῖ καὶ τήκει, τὰ δὲ πήγνυσιν. Ἐν δὲ δὴ τοῖς ἐμψύχοις οὕτως ὑποληπτέον, ὥσπερ φύσεως πῦρ ζητοῦντα καθάπερ τέχνης· καὶ γὰρ ἐν ταῖς τέχναις ἕτερον τὸ χρυσοχοϊκὸν καὶ τὸ χαλκευτικὸν καὶ τὸ τεκτονικὸν πῦρ ἀποτελεῖ καὶ τὸ μαγειρικόν· ἴσως δ' ἀληθέστερον ὅτι αἱ τέχναι· χρῶνται γὰρ ὥσπερ ὀργάνῳ μαλάττουσαι καὶ τήκουσαι καὶ ξηραίνουσαι, ἔνια δὲ καὶ ῥυθμίζουσαι· τὸ αὐτὸ δὲ τοῦτο καὶ αἱ φύσεις· ὅθεν δὴ καὶ πρὸς ἄλληλα διαφοραί. Διὸ γελοῖον πρὸς τὸ ἔξω κρίνειν· εἴτε γὰρ διακρίνον, εἴτε λεπτύνον, εἴθ' ὅτιδή ποτ' ἐστὶ τὸ θερμαίνεσθαι καὶ πυροῦσθαι, διαφορὰν ἕξει τὰ ἔργῳ τοῖς χρωμένοις. Ἀλλ' αἱ μὲν τέχναι ὀργάνῳ χρῶνται, ἡ δὲ φύσις ἅμα καὶ ὡς ὕλῃ. Οὐ δὴ τοῦτο χαλεπὸν ἀλλὰ μᾶλλον τὸ τὴν φύσιν αὐτὴν νοῆσαι τὴν χρωμένην, ἥτις ἅμα τοῖς αἰσθητοῖς πάθεσι **καὶ τὸν ῥυθμὸν ἀποδώσει**· τοῦτο γὰρ οὐκέτι πυρὸς οὐδὲ πνεύματος. Τούτοις δὴ καταμεμῖχθαι τοιαύτην δύναμιν **θαυμαστόν.** Ἔτι δὲ τοῦτο θαυμαστὸν **ταὐτὸν** καὶ περὶ ψυχῆς· ἐν **τούτοις** γὰρ ὑπάρχει. Διόπερ οὐ κακῶς εἰς ταὐτόν, ἢ ἁπλῶς, ἢ μόριόν τι τὸ δημιουργοῦν, καὶ τὸ τὴν κίνησιν ἀεὶ τὴν ὁμοίαν ὑπάρχειν ἐνέργειαν· **καὶ γὰρ ἡ φύσις ἀφ' ἧς καὶ ἡ γένεσις.** Ἀλλὰ δὴ τίς ἡ διαφορὰ τοῦ καθ' ἕκαστον θερμοῦ; εἴθ' ὡς ὄργανον, εἴθ' ὡς ὕλῃ, εἴθ' ὡς ἄμφω .... **τὸ δημιουργοῦν ἕτερον ἂν εἴη**». Ἐκ τούτων οὖν καταφαίνεται ὅτι τὸ θερμὸν ὄργανον μόνον, ἑτέρας τινὸς δυνάμεως, τῆς φύσεως, χρωμένης αὐτῷ πρός τι τέλος, καθάπερ ὁ τεχνίτης ἢ πολλοὶ τεχνῖται, ἢ μᾶλλον ὁ νοῦς αὐτῶν, τῷ αὐτῷ πυρὶ χρώμενος πολλὰ καὶ ποικίλα κατεργάζεται. Ἔσται οὖν εἰδοποιός τις δύναμις χρωμένη τῷ θερμῷ πρὸς παρασκευὴν τῆς ὕλης καὶ ῥυθμίζουσα τὰ καθ' ἕκαστον. Περὶ δὲ ψυχῆς οὐκ εὐκρινῶς ἀποφαίνεται· καὶ οὔτε ταὐτὸν αὐτὴν τῇ φύσει, οὔτε μὴν διάφορον οἴεται εἶναι, ὑπάρχειν δ' αὐτὴν ἐν τούτοις φησίν. Ἐν τούτοις δέ, ἢ τοῖς αἰσθητοῖς πάθεσιν ἐννοητέον, ἢ τοῖς φύσει γιγνομένοις, ὅπερ κάλλιον δοκεῖ.

§ 5. Πάλιν φύσις τὸ τέλος, καὶ ἀρχὴ καὶ οὗ ἕνεκα[29]· τοῦτο γὰρ

29) Ὅρ. ανωτ. π. φύσ. π. Ζώ. μορ. Α'. α'. 639 β. 11.

βέλτιον καὶ τοῦ βελτίονος ἕνεκα πάντα γίγνεται[30]). Αἴτια μὲν οὖν ἔσονται, ἥ τε ὕλη καὶ αἱ ἐναντιότητες τοῦ θερμοῦ καὶ ψυχροῦ πρὸς ἀπεργασίαν τῆς ὕλης, πρωτίστη μὴν καὶ δημιουργὸς καὶ τελικὴ αἰτία ἡ φύσις ἔσται ἐν παντὶ τῷ γιγνομένῳ, ἐν οἷς καὶ ψυχή. Ὥστε τρόπον τινὰ ταὐτόν φησι ψυχὴν καὶ φύσιν. Ἀλλὰ ζητεῖται τὸ γεννητικὸν ἐκεῖνο καὶ δημιουργὸν τὶ ἂν καθ' αὑτὸ εἴη· καὶ πάλιν πρὸς τὴν ἐμπειρίαν προστρέχει. Καὶ ἐν μὲν τοῖς φυτοῖς οὐ πάνυ τοι ἐμμένει, ἀλλ' εἰς τὰ τελειότερα τῇ φύσει ἀνέρχεται, καὶ ἑτέρας αὖ ἀρχὰς τῆς γενέσεως τό τε ἄρρεν καὶ θῆλυ τίθησι, τὸ μὲν κινοῦν καὶ μορφοῦν, τὸ δὲ δεκτικὸν τῆς κινήσεως καὶ τὴν ὕλην πορίζον[31]). Πρῶτον μὲν οὖν ἐρευνᾷ, εἰ τὸ γεννητικὸν ἐκεῖνο καὶ δημιουργοῦν (τοιαύτην δὲ καλεῖ τὴν ψυχὴν) ἐν τῷ σπέρματί ἐστιν, ἢ μόριόν τι αὐτοῦ. Καὶ τὸ μὲν σπέρμα ὡς κινοῦν τίθεται καὶ ἔχον ἀρχὴν τοιαύτην πρὸς τὸ κινεῖν, παυομένης δὲ τῆς κινήσεως γίγνεται ἕκαστον τῶν μορίων καὶ ἔμψυχον[32]). Ὥστε κίνησις τίθεται πρῶτον ἀτελής· εἶτα δ' οἱονεὶ ἐχόμενον ἄρχεται ἡ τελείωσις ἐκ τοῦ πρώτου κινοῦντος, ἐνδελεχείᾳ ἐνεργοῦντος, ἄλλως δὲ καὶ οὐκ ἀτελῶς, ἀλλὰ τελέως καὶ κατὰ λόγον μορφοῦντος σάρκας καὶ ὀστᾶ ἐκ τῆς παρασκευασθείσης ἐν τῷ θήλει ὕλης, ἥτις πέψις τις ἂν εἴη, ἀλλ' ἀτελής, καὶ τῆς εἰδοποιοῦ ἀρχῆς δεομένη[33]). «Πότερον δ' ἔχει ψυχὴν τὸ

30) π. Ζω. γεν. Β'. α'. 731 β. 24. «Ἐπεὶ γάρ ἐστι τὰ μὲν ἀΐδια καὶ θεῖα τῶν ὄντων ... τὸ δὲ καλὸν καὶ τὸ θεῖον αἴτιον ἀεὶ κατὰ τὴν ἑαυτοῦ φύσιν τοῦ βελτίονος ἐν τοῖς ἐνδεχομένοις, τὸ δὲ μὴ ἀΐδιον ἐνδεχόμενόν ἐστι καὶ εἶναι καὶ μὴ εἶναι καὶ μεταλαμβάνειν καὶ τοῦ χείρονος καὶ τοῦ βελτίονος, βέλτιον δὲ ψυχὴ μὲν σώματος, τὸ δ' ἔμψυχον τοῦ ἀψύχου διὰ τὴν ψυχήν, καὶ τὸ εἶναι τοῦ μὴ εἶναι, καὶ τὸ ζῆν τοῦ μὴ ζῆν, διὰ ταύτας τὰς αἰτίας γένεσις ζώων ἐστίν».

31) π. ζω. γεν. Α'. β'. 716 β. 4 «τῆς γενέσεως ἀρχάς ἄν τις οὐχ ἥκιστα θείη τὸ θῆλυ καὶ τὸ ἄρρεν, τὸ μὲν ἄρρεν ὡς τῆς κινήσεως καὶ τῆς γενέσεως ἔχον τὴν ἀρχήν, τὸ δὲ θῆλυ ὡς ὕλης» ... ὅρ. καὶ Β'. α'. 732 α. 3. ἔνθα **βελτίονος** καὶ **θειοτέρας** φύσεως τὸ ἄρρεν τίθεται· διὸ καὶ κεχώρισται τοῦ χείρονος θήλεος. Ἐν δὲ τοῖς φυτοῖς καὶ ὀστρέοις οὐ κεχώρισται καθὸ ἀτελέσιν· καθόλου δ' ἐν πᾶσι τοῖς πορευτικοῖς κεχώρισται.

32) π. ζω. γεν. Β'. α'. 734 β. 14. «ὁμοίως δὲ καὶ ἀφ' οὗ τὸ σπέρμα, ἢ τὸ ποιῆσαν τὸ σπέρμα, ἁψάμενον μέν τινος, οὐχ' ἁπτόμενον δ' ἔτι· τρόπον δέ τινα ἡ ἐνοῦσα κίνησις ὥσπερ ἡ οἰκοδόμησις τὴν οἰκίαν. Ὅτι μὲν οὖν ἔστι τι ὃ ποιεῖ, οὀχ οὕτως δὲ ὡς τόδε τι, οὐδ' ἐνυπάρχει ὡς τετελεσμένον τὸ πρῶτον δῆλον». Μὴ ταραττέτω δέ τινα ὃ ἀνωτέρω ἐμμονὴν τῆς κινήσεως εἰρήκαμεν, ἐνταῦθα δὲ παυομένην τὴν κίνησιν τίθεμεν· παύεται γὰρ τὸ ἀτελὲς τῆς πρώτης κινήσεως καὶ ἄρχεται ἡ τελείωσις· τοῦτο δ' ἐστὶν ὃ καλεῖ ἐνταῦθα ὁ Ἀριστ. ἐνοῦσαν κίνησιν. Πρῶτον οὖν ἔξωθεν ἡ πρώτη κίνησις ἁπτομένη, εἶτα δ' ἅμα τῇ θίξει ἄρχεται ἡ τελείωσις οὐκ ἔξωθεν ἀλλ' ἐν αὐτῷ τελειουμένῳ.

33) Αὐτόθι 734 β. 31. «Σκληρὰ μὲν οὖν καὶ μαλακὰ καὶ γλίσχρα καὶ κραῦρα, καὶ ὅσα ἄλλα πάθη ὑπάρχει τοῖς ἐμψύχοις μορίοις, θερμότης καὶ ψοχρότης ποιήσειεν ἄν, τὸν δὲ λόγον ᾧ ἤδη τὸ μὲν σάρξ, τὸ δ' ὀστοῦν οὐκέτι, ἀλλ' ἡ κίνησις ἡ ἀπὸ τοῦ γεννήσαντος τοῦ ἐντελεχείᾳ ὄντος (ἐνν. ἀνδρός), ὃ ἐστι δυνάμει ἡ ἐξ οὗ γίγνεται (ἐνν. κίνησις), ὥσπερ καὶ ἐπὶ τῶν γιγνομένων

σπέρμα ἢ οὔ· ὁ αὐτὸς λόγος καὶ περὶ τῶν μορίων· οὔτε γὰρ ψυχὴ ἐν ἄλλῳ οὐδεμία ἔσται, πλὴν ἐν ἐκείνῳ, οὗ γ' ἔστιν, οὔτε μόριον ἔσται μὴ μετέχον, ἀλλ' ἢ ὁμωνύμως ὥσπερ τεθνεῶτος ὀφθαλμός. Δῆλον οὖν ὅτι καὶ ἔχει καὶ ἔστι δυνάμει».[34]) Ὥστε τὸ σπέρμα ἕξει ψυχὴν δυνάμει, καὶ ἕξις τις ἔσται πρὸς τὸ γενέσθαι τι τέλειον· ἀρχή τις, ἀλλ' οὐ τόδε τι, δυνάμει δέ. Δυνάμει δ' αὖ ἐγγυτέρω καὶ πορρωτέρω αὐτὸ ἑαυτοῦ ἐνδέχεται· «Ὥσπερ ὁ καθεύδων γεωμέτρης τοῦ ἐγρηγορότος πορρωτέρω, καὶ οὗτος τοῦ θεωροῦντος. Ταύτης μὲν οὖν οὐδὲν μόριον αἴτιοντῆς γενέσεως, ἀλλὰ τὸ πρῶτον κινῆσαν ἔξωθεν· οὐθὲν γὰρ αὐτὸ ἑαυτὸ γεννᾷ, ὅταν δὲ γένηται αὔξει ἤδη αὐτὸ ἑαυτό. Διόπερ πρῶτόν τι γίγνεται καὶ οὐχ ἅμα πάντα. Τοῦτο δὲ γίγνεσθαι ἀνάγκη πρῶτον, ὃ αὐξήσεως ἀρχὴν ἔχει· εἴτε γὰρ φυτόν, εἴτε ζῶον, ὁμοίως τοῦτο πᾶσιν ὑπάρχει τὸ θρεπτικόν· τοῦτο δ' ἐστὶ τὸ γεννητικὸν ἑτέρου οἷον αὐτό· τοῦτο γὰρ παντὸς φύσει τέλειον ἔργον καὶ ζώου καὶ φυτοῦ»[35]). Ἐκ τούτων οὖν πασιφανὲς ὅτι τὸ γεννητικόν, ὅπερ ἐζητεῖτο, τὸ θρεπτικόν ἐστι, τὸ ἔχον ἀρχὴν αὐξήσεως, καὶ τοῦτό ἐστιν ὃ πρῶτον γίγνεται καὶ ἐξ ἀνάγκης. Ἡ γοῦν ἐμπειρία δείκνυσιν ὅτι ἔξωθεν ἡ ἀρχὴ τῆς κινήσεως, αὕτη δ' ἐν τῷ σπέρματι ἢ τῷ ἄρρενι (ταὐτὸν γὰρ εἰπεῖν ἐν τῷ σπέρματι ἢ τῷ ἔχοντι τὸ σπέρμα)· κινησάσης δὲ τῆς πρώτης κινήσεως, ἀλλοιοῦταί τι, εὐθὺς δ' ἄρχεταί τι γίγνεσθαι καὶ αὔξειν διὰ τοῦ θρεπτικοῦ· τοῦτο γὰρ ἐκ τῆς ζητήσεως εὕρηται τὸ πρῶτον καὶ ἐξ ἀνάγκης, καὶ ἔργον τέλειον ζώων τε καὶ φυτῶν. Τούτων οὖν οὕτως ἐχόντων, τῷ, τὰ περὶ κινησεως καὶ ἐνεργείας τῷ Ἀριστοτ. διωρισμένα, θεωροῦντι, οὐκ ἂν χαλεπὸν εἴη συνιέναι τὰ περὶ τῆς πρώτης ἐντελεχείας. Ἀλλ' ἀνάγκη, ὅπως ἔτι καταφανέστερον εἴη τὸ πρᾶγμα, τὸ θρεπτικὸν αὐτὸ ζητῆσαι· πρότερον μὴν ἀνάγκη αὐτὸ τὸ πρῶτον κινοῦν ἐν τῇ γενέσει διερευνῆσαι, καὶ οὕτω τρόπον τινὰ διαβατήριον πρὸς τὴν περαιτέρω πορείαν ἔχοντες, καὶ φίλα ταῖς ἀρχαῖς φρονοῦντες, ἀσφαλῶς ἂν βαδίζοιμεν, οὐδεμίαν ὑποψίαν τοῖς τῶν ἀρχῶν ὑπουργοῖς ἐμβάλλοντες.

§ 6. Μέχρι μὲν οὖν τοῦδε δέδεικται ὅτι πρὸς γένεσιν παντὸς φυσικοῦ ὄντος πολλὰ τὰ συντρέχοντα· πρῶτον μὲν αἱ ἐναντιότητες τοῦ θερμοῦ καὶ ψυχροῦ, εἶτα δὲ τὸ ἄρρεν καὶ θῆλυ, τρίτον δ' ἡ ὕλη ἡ ὑπὸ τοῦ θερμοῦ παρασκευασθεῖσα, τοῦτο δὲ συμβαίνει ἐν τῷ θήλει. Ἀλλὰ λείπεται τό τε πρῶτον κινοῦν καὶ τὸ ἑπόμενον εἶδος. Καὶ πρῶτον μὴν περὶ τοῦ πρῶτον κινοῦντος διοριστέον, τό δ' ἐχόμενον ὕστερον.

κατὰ τέχνην . . . ἡ γὰρ τέχνη ἀρχὴ καὶ εἶδος τοῦ γιγνομένου, ἀλλ' ἐν ἑτέρῳ, ἡ δὲ τῆς φύσεως κίνησις ἐν αὐτῷ, ἀφ' ἑτέρας οὖσα φύσεως τῆν ἐχούσης τὸ εἶδος ἐνεργείᾳ».

34) Αὐτόθι 735 α. 4.

35) Αὐτ. ἐφεξῆς. *Ἐξ ὧν καὶ τυφλῷ δῆλον ὅτι ἡ πρώτη ἐντελέχεια τὸ θρεπτικὸν ἂν εἴη, καὶ ὁ κοινότατος λόγος ὁ ζητούμενος ἐν τῷ π. ψυχ.* Β'. β'. *τοῦτο γὰρ καὶ πᾶσιν ὑποκείμενον, καὶ πρώτη ἀρχὴ τῶν ἐχομένων, ἐν μὲν τοῖς ζώοις τοῦ αἰσθητικοῦ καὶ εἶτα τοῦ νοητικοῦ, ἅτινα τῷ ἐφεξῆς γίγνονται, καὶ οὕτω τελειοῦται τὸ ζῶον κατὰ μικρόν, ἐν δὲ τοῖς φυτοῖς ἡ πέψις, ᾗ ἕπεται ἡ πέπανσις καὶ τελεία ἐνέργεια, καὶ τότε καὶ ἡ δύναμις τοῦ ποιῆσαι ἕτερον οἷον αὐτό· ταὐτὸ μὲν εἴδει καὶ ἕν, ἀριθμῷ δ' οὔ.*

Τὸ μὲν οὖν σπέρμα ὥρισται «περίττωμα μεταβαλλούσης τῆς τροφῆς»[36]). Ἀλλὰ καὶ ἐν τῷ θήλει ἔσται τὸ περίττωμα τοῦτο, τίς οὖν χρεία τοῦ ἄρρενος[37]); διάφορον μέντοι περίττωμα περιττώματος, καὶ τὸ μὲν τοῦ ἄρρενος τίθεται ὡς ποιητικὸν καὶ κινοῦν, τὸ δὲ τοῦ θήλεος παθητικὸν καὶ κινούμενον. Καὶ τὸ μὲν ποιοῦν .γόνιμα τὰ σπέρματα, τοῦτό ἐστι τὸ θερμόν· τὸ θερμὸν δὲ τοῦτο οὐκ ἔστι πῦρ ἢ ἄλλη τις δύναμις, ἀλλὰ τὸ ἐμπεριλαμβανόμενον ἐν τῷ ἀφρώδει τοῦ σπέρματος πνεῦμα καὶ ἡ ἐν αὐτῷ φύσις[38]). Ἀλλ' ἡ περίεργος διάνοοια ἐρωτᾷ· τί δ' ἔστι τοῦτο τὸ πνεῦμα; «τὸ θερμὸν τὸ ἐργαζόμενον ἐν τοῖς σώμασιν», ὁ Ἀριστ. ἀποκρίνεται, καὶ οὕτως ἀπὸ τοῦ θερμοῦ εἰς τὸ πνεῦμα καὶ τἀνάπαλιν μεταβαίνει, ὥστε ταὐτὸ δοκεῖ τῷ θερμῷ τὸ πνεῦμα καθάπερ ἐν τῷ περὶ ζω. γεν. εἴρηται «τὸ πνεῦμά ἐστι θερμὸς αἤρ»[39]). Καὶ τὸ μὲν πνεῦμα ἔμφυτόν φησι καὶ πανταχοῦ τοῦ σώματος, οὐ τοῦτο δὲ τὸ πρῶτον κινοῦν· οὐδὲ γὰρ τὸ θερμόν, εἴπερ τὸ θερμὸν ἐν τῷ πνεύματι, καὶ πᾶν ἐν τῷ σώματι ἔμφυτον πνεῦμα θερμόν[40]). Τὸ θερμὸν οὖν οὐκ ἔστι τὸ δημιουργοῦν καὶ ῥυθμίζον, ἀλλ' ἡ φύσις, **θαυμαστόν** τι, ὡς εἴρηται, καὶ αὕτη ἐστὶν ἡ τῷ θερμῷ χρωμένη, ὡς ὁ τεχνίτης τῷ πυρί, ὡς ὀργάνῳ τινὶ πρὸς ἀποτέλεσιν παντὸς φυσικοῦ ὄντος. Εἰ δὲ οὔτε τὸ θερμὸν οὔτε τὸ πνεῦμα ἔσται τὸ πρῶτον κινοῦν, τί τὸ ποιοῦν γόνιμα τὰ σπέρματα; «ἡ ἐν τῷ πνεύματι φύσις, ἀνάλογον οὖσα τῷ τῶν ἄστρων στοιχείῳ»[41]). Ὥστε οὐ τὸ θερμὸν αὐτὸ οὐδὲ τὸ πνεῦμα, ἀλλά τις φύσις ἐν αὐτοῖς ἐστι τὸ κινοῦν. Ἀλλὰ πάλιν τὸ θερμὸν αὐτό ἐστι τὸ ζωογονοῦν ἐν τοῖς ζώοις καὶ ὁ Ἥλιος· οὐδεπώποτε μέντοι ὁ Ἥλιος γονιμοποιήσει τι οὐδὲ τὸ θῆλυ, εἰ μὴ ἡ ζωτικὴ ἐν τῷ περιττώματι ἀρχὴ ὑπάρξει, ἐν περιττώματι δὲ τοιούτῳ τὴν ζωτικὴν ἀρχὴν καθαπερεὶ δυνάμει ἐνέχοντι, ἁπτομένῳ δὲ καὶ τὸ οἰκεῖον περίττωμα συνιστάντι, καθίσταται ἡ ζωὴ ὕστερον, ὅτε καὶ ἡ τελείωσις ἄρχεται κατὰ νόμους μηδὲν κοινὸν τοῖς περιττώμασιν ἔχοντας[42]). Ὥστε, ὥσπερ

---

36) π. ζω. γεν. Β'. γ'. 736 β. 26 καὶ 737 α. 18. *«τοῦ σπέρματος ὄντος περιττώματος . . .»*

37) *«συνίστησι καὶ κινεῖ τὸ περίττωμα τοῦ θήλεος . . .»* αὐτόθ. 21.

38) Αὐτόθι 736 α. 33. *«πάντων γὰρ ἐν τῷ σπέρματι ἐνυπάρχει, ὅπερ ποιεῖ γόνιμα εἶναι τὰ σπέρματα, τὸ καλούμενον θερμόν· τοῦτο δ' οὐ πῦρ οὐδὲ τοιαύτη δύναμίς ἐστιν, ἀλλὰ τὸ ἐμπεριλαμβανόμενον ἐν τῷ σπέρματι καὶ ἐν τῷ ἀφρώδει πνεῦμα καὶ ἡ ἐν τῷ πνεύματι φύσις ἀνάλογον οὖσα τῶ τῶν ἄστρων στοιχείῳ».*

39) π. ζω. γεν. Β'. β'. 736 α. 1. π. πνεύμ. κεφ. θ'.

40) Αὐτόθ. κεφ. α'. 481 β. 17. *«ἅμα δὲ καὶ οὐκ αὐτὸ τὸ πρῶτον κινοῦν». Σημειωτέον δ' ὅτι ἐν τῇ συγγραφῇ ταύτῃ οὐ τὸ θερμὸν ὡς ἀρχὴ τίθεται, ἀλλ' ὡς ὄργανον καθάπερ τὸ πῦρ τῇ τέχνῃ, ὡς ἀνωτέρω εἴρηται· εἰ γὰρ τὸ θερμὸν ἦν τὸ ἐργαζόμενον πῶς οὐ ταὐτὰ πάντα; πῶς οὐ ταὐτὸν ὀστοῦν λεόντος καὶ ἵππου καὶ ἀνθρώπου; πῶς δ' ἐν τῷ αὐτῷ ἀνθρώπῳ τὸ μὲν μᾶλλον, τὸ δ' ἧττον σκληρὸν καὶ κατὰ λόγον; ἕτερον ἄρα ἔσται τὸ ῥυθμίζον και κατὰ λόγον δημιουργοῦν, ἡ φύσις «ἀφ' ἧς και ἡ γένεσις».*

41) π. ζω. γεν. Β'. γ'. 736 β. 37.

42) Αὐτόθ. 737 α. 1. *«Διὸ πῦρ μὲν οὐδὲν γεννᾷ ζῶον, οὐδὲ φαίνεται*

ἡ πρώτη κίνησις ἁπλῶς ἐκ τοῦ πρῶτον κινοῦντος καὶ τοῦ εἴδους ἕνεκα, αὐτὴ δὲ καθ' αὑτὴν ἀτελής, οὕτω καὶ ἐνταῦθα, ἐν μὲν τοῖς φυτοῖς, ἐν οἷς ἀχώριστον τὸ θῆλυ τοῦ ἄρρενος, διὰ τοῦ θερμοῦ ἄρχεται ἡ πέψις καὶ πέφυκε τελειοῦσθαι ἐν τῷ πεπαίνειν κατὰ λόγον καὶ τέλους τινὸς ἕνεκα, ἐν δὲ τοῖς ζώοις αὖ διὰ τοῦ αὐτοῦ θερμοῦ ῥυθμίζεταί τι καὶ αὔξει ὀργανικῶς κατὰ λόγον διάφορον ἐν ἑκάστῳ εἴδει· τοῦτο δ' ἐστὶν ἡ τελικὴ καὶ δημιουργικὴ δύναμις τῆς φύσεως κατὰ λόγον καὶ ἐνδελεχῶς ἐνεργούσης[43]. Ὥστε ἡ φύσις ἔσται ἡ τὸ ποιὸν ἀπεργαζομένη, ὡς ὁ τεχνίτης. Καὶ τὸ μὲν ἄρρεν οἷον τὸ ὄργανον τοῦ τεχνίτου, τὸ δὲ θῆλυ, ἡ ὕλη, ἣν τῷ σπέρματι ὡς ὀργάνῳ ἡ φύσις χρωμένη τοιάνδε ἢ τοιάνδε ἀπεργάζεται[44]. Καὶ τῷ μὲν ἄρρενι ἀποδίδοται ἡ γονή, ὅ ἐστιν αἴτιον τὸ πρῶτον ἔχον ἀρχὴν γενέσεως[45], καὶ διάθεσις, καὶ εὐφυΐα, ὡς εἰπεῖν, πρὸς τὸ γενέσθαι τι, τῷ δὲ θήλει, ἡ ὕλη, ὅ ἐστι τὰ καταμήνια, ἀνάλογόν τι τῇ τοῦ σπέρματος γονῇ[46]. Καὶ σπέρμα μὲν καὶ τὸ τοῦ θήλεος ἂν κληθείη, ἀλλ' οὐ γόνιμον. Ὅλως δ' οὐδὲ καλεῖται τὸ τοῦ θήλεος σπέρμα, εἰ μὴ μόνον ὡς χρήσιμον περίττωμα[47]· ἕτερον γὰρ τὸ σπέρμα, καὶ ἕτερον ἡ ἐν αὐτῷ γονή[48].

συνιστάμενον πυρουμένοις οὔτ' ἐν ὑγροῖς, οὔτ' ἐν ξηροῖς οὐθέν· ἡ δὲ τοῦ Ἡλίου θερμότης καὶ ἡ τῶν ζώων, οὐ μόνον ἡ διὰ τοῦ σπέρματος, ἀλλὰ κἄν τι περίττωμα τύχῃ τῆς φύσεως ὂν ἕτερον, ὅμως ἔχει καὶ τοῦτο ζωτικὴν ἀρχήν. Ὅτι μὲν οὖν ἡ ἐν τοῖς ζώοις θερμότης οὔτε πῦρ, οὔτε ἀπὸ πυρός ἔχει τὴν ἀρχήν, ἐκ τῶν τοιούτων ἐστὶ φανερόν». Ἐκ τούτων δ' αὖ καταφαίνεται ὅτι ἕτερόν τι τὸ δημιουργικὸν καὶ πανταχοῦ τεῖνον πρὸς δημιουργίαν, καὶ ἐν περιττώμασιν ἐκτὸς ὀργανικοῦ σώματος καὶ σεσηπυίαις ὕλαις ἐνδελεχής τις πρὸς μόρφωσιν δύναμις ἀναφαίνεται.

43) Σημειωτέον ὅτι οὐ μόνον τὸ θερμόν, ἀλλὰ καὶ τὸ ὑγρὸν ζωτικὸν καλεῖ ὁ Ἀριστοτέλης (π. ζω. γεν. Β'. α'. 733 α. 11) «ζωτικὸν γὰρ τὸ ὑγρόν, πορρωτάτω δὲ τοῦ ἐμψύχου τὸ ξηρόν». Ὥστε καὶ τὴν ὑγρὰν ἀρχὴν ληπτέον, ἐν τῷ σπέρματι δ' ἔσονται τό τε θερμὸν καὶ τὸ πνεῦμα καὶ τὸ ὑγρὸν ἀρχαί, αἵτινες ἀποτελοῦσι τὸ ἀφρῶδες ἐκεῖνο. ὅρ. καὶ Α'. κ'. 728 β. 28.

44) π. ζω. γεν. Α'. κα'. 730 α. 21. «Οὐκ εἰς τὸ ποσὸν συμβαλλομένου τοῖς ζώοις τοῦ ἄρρενος, ἀλλ' εἰς τὸ ποιόν». και κβ'. 730 β. 9 . . . ὁμοίως δὲ καὶ ἡ φύσις ἡ ἐν τῷ ἄρρενι τῶν σπέρμα προϊεμένων χρῆται τῷ σπέρματι ὡς ὀργάνῳ καὶ ἔχοντι κίνησιν ἐνεργείᾳ, ὥσπερ ἐν τοῖς κατὰ τέχνην γιγνομένοις τὰ ὄργανα κινεῖται». Ἐκ τούτων αὖ δείκνυται ὅτι ἡ κίνησις ἐν τῇ φύσει ἐνδελεχῶς, καὶ φύσις ἄνευ κινήσεως ἀκατάληπτόν τι αὐτῷ δοκεῖ.

45) π. ζω. γεν. Α'. ιη'. 724 β. 12.

46) Αὐτόθ. κ'. 730 α. 28. «Εἰ οὖν τὸ ἄρρεν ἐστὶν ὡς κινοῦν καὶ ποιοῦν, τὸ δὲ θῆλυ, ᾗ θῆλυ, ὡς παθητικόν, εἰς τὴν τοῦ ἄρρενος γονὴν τὸ θῆλυ ἂν συμβάλλοιτο οὐ γονὴν ἀλλ' ὕλην». ὅρ. καὶ ιθ'. 727 α. 3.

47) Αὐτ. 725 α. 11. «χρησίμου ἄρα περιττώματος μέρος τί ἐστι τὸ σπέρμα». Διὸ καὶ κυρίως σπέρμα ὁ Ἀριστ. καλεῖ τὸ ἐνέχον γονήν, ἅτε καθαρώτερον καὶ χρησιμώτερον, τὸ δὲ τοῦ θήλεος καταμήνια, ὅ ἐστι περίττωμα, οὐ μέντοι καθαρόν, καὶ δεόμενον καθάρσεως καὶ τὰ πολλὰ ἄχρηστον.

48) Σημειωτέον ὅτι ἐν 724 β. 14 σπέρμα ὁ Ἀριστ. καλεῖ τὸ ἐξ ἀμφοτέρων τὰς ἀρχὰς ἔχον τῶν συνδυασθέντων, οἷον τὰ τε τῶν φυτῶν καὶ ἐνίων ζώων, ἐν

Νῦν οὖν, «πότερον μεταλαμβάνει τὸ συνιστάμενον ἐν τῷ θήλει ἀπὸ τοῦ εἰσελθόντος τι, ἢ οὐθέν, καὶ περὶ ψυχῆς καθ' ἣν λέγεται ζῶον (ζῶον δ' ἐστὶ κατὰ τὸ μόριον τῆς ψυχῆς τὸ αἰσθητικόν)[49] πότερον ἐνυπάρχει τῷ σπέρματι καὶ κυήματι ἢ οὔ· καὶ πόθεν»[50]. Αὗται αἱ δύο ἐρωτήσεις ἐνταῦθα πρὸς λύσιν πρόκεινται, ἅς πορρωτέρω ὁ Ἀριστοτέλης διὰ τῶν ἑξῆς λύει. «Τὸ δὲ τῆς γονῆς σῶμα ἐν ᾧ συναπέρχεται τὸ σπέρμα τὸ τῆς ψυχικῆς ἀρχῆς[51], τὸ μὲν χωριστὸν ὂν σώματος, ὅσοις ἐμπεριλαμβάνεται τὸ θεῖον (τοιοῦτος δ' ἐστὶν ὁ καλούμενος νοῦς), τὸ δ' ἀχώριστον τοῦτο τὸ σπέρμα τῆς γονῆς διαλύεται καὶ πνευματοῦται, φύσιν ἔχον ὑγρὰν καὶ ὑδατώδη»[52]. Καὶ ἐνταῦθα μὲν μόνον ἡ πρώτη ἀπορία λύεται, ὅτι τὸ συνιστάμενον μεταλαμβάνει τοῦ εἰσελθόντος, τοῦτο δ' ἐστὶ τὸ σπέρμα, τὸ χρήσιμον πρὸς τροφὴν περίττωμα, ὅπερ διαλύεται καὶ πνευματοῦται, οὐκ ἀπόλλυται δέ, ἐπεὶ χρήσιμον τέθειται, ἀλλ' οἴκοθεν ἐννοεῖται ὅτι τρέφει. Πρῶτον οὖν ἐκίνησε, εὐθὺς δὲ μετὰ ταῦτα διαλύεται καὶ πνευματοῦται, καὶ ἅμα ἄρχεται τὸ θρεπτικὸν τῆς ψυχῆς τούτῳ τε καὶ τῷ ἐν τῷ θήλει χρησίμῳ χρώμενον περιττώματι[53]. ἡ δ' ἑτέρα ἀπορία λέλυται ἤδη πρότερον, ὅτε δέδεικται ὅτι ἀδύνατον προϋπάρχειν τας ἄλλας δυνάμεις, ἢ θύραθεν εἰσιέναι· ἡ γὰρ ἐνέργεια αὐτῶν σωματική, καὶ ἄνευ σώματος ἀδύνατον ὑπάρχειν[54]. οὗ δ' ἡ ἐνέργεια οὐδὲν τῇ σωματικῇ ἐνεργείᾳ κοινωνεῖ, τοῦτο ἀνάγκη θύραθεν εἰσιέναι καὶ θεῖον εἶναι μόνον[55], καὶ τοῦτό ἐστιν, ὅ φησιν ἐνταῦθα τὸ χωριστόν.

οἷς ἀχώριστα τό τε θῆλυ καὶ ἄρρεν. Ἐν δὲ τοῖς χωριστοῖς σπέρμ' ἂν καὶ τὸ τοῦ θήλεος κληθείη· ἀλλὰ τὸ τοιοῦτον σπέρμα οὐκ ἔστι γόνιμον ἀλλὰ χρήσιμον πρὸς τροφὴν περίττωμα καὶ ὕλη κοινή. Ὥστε ἔσται πρῶτον μὲν καὶ κυρίως σπέρμα τὸ τὴν ἀρχὴν τὴν ψυχικὴν φέρον, τὸ πεφυκὸς συνιστάναι, καὶ ποιητικὸν τοῦ σώματος ὅτε καὶ ἡ θρέψις ἄρχεται.

49) Τοῦτό ἐστιν, ὡς ἀνωτέρω εἴρηται, ἡ μεγίστη διαφορὰ ἐν τῷ ὡς γένους εἴδει τῶν ζώων, ἕξις μὲν τοῖς ζώοις, στέρησις δὲ τοῖς φυτοῖς.

50) π. ζω. γεν. Β'. γ'. 736 α. 28.

51) προσεκτέον τὸν νοῦν. σῶμα γάρ φησι· τοῦτο δ' ἐστὶ τὸ συνιστάμενον, ὃ εἴρηκεν ἀνωτέρω· γονῆς δὲ σῶμα καλεῖται, ὡς ἐξ αὐτῆς ἔχον τὴν ἀρχήν. πρὸς δὲ τούτοις ὅτι σῶμα λέγων ὁ Ἀριστ. τέλειόν τι νοεῖ, ἀρχὴν κινήσεως ἐν ἑαυτῷ ἔχον, φυσικὸν σῶμα. Τοῦτο οὖν τὸ σῶμα τὸ συνιστάμενον ζητεῖται. Καὶ ἀνωτέρω μὲν εἴρηται ὅτι χρήσιμον περίττωμα ἐν ἀμφοτέροις, νῦν δὲ πῶς μεταλαμβάνει τὸ συνιστάμενον ἐν τῷ θήλει τοῦ εἰσελθόντος.

52) Αὐτόθι 737 α. 7.

53) προσφορώτατα ἐνταῦθα τὸ σπέρμα τῷ ὀπῷ συγκέκρικε· καθάπερ γὰρ ὁ ὀπὸς ἀναλύεται ἐν γάλακτι καὶ γάλα καθίσταται, καὶ σύν τῷ γάλακτι εἰς ἓν συνίσταται, οὕτω καὶ τὸ σπέρμα τῆς γονῆς πεφυκὸς συνιστάναι καὶ προάγειν τὴν ἐνοῦσαν θρεπτικὴν δύναμιν. Ὅτι δὲ τὸ σπέρμα οὐ πᾶν γόνιμον ὅρ. Α'. ιη'. 725 β. 5 κ. ε. Δ'. ε'. 774 α. 2, ᾗ τὰ καταμήνια «σπέρμα ἄπεπτον» καλοῦνται.

54) Αὐτόθι 736 β. 14.

55) Αὐτόθ. β. 27.

Εἰ οὖν τοῦτο μόνον χωριστόν, ἀνάγκη τἆλλ' ἀχώριστα εἶναι, καὶ ἐχόμενα ἢ τῷ ἐφεξῆς, καὶ πρῶτον τὸ θρεπτικόν [56]).

---

56) Τὸ ἀνωτέρω χωρίον ἔχει πως δυσχέρειαν, οὐ τοσαύτην δὲ ὅσην ᾠήθησάν τινες. Καὶ ἡ μὲν δευτέρα ἀπορία λύεται ὡς ὀρθῶς ὁ Ἔρτλιγκ (σελ. 166) εἴρηκεν, ἀπὸ τοῦ 736 α. 32 μέχρι τοῦ 737 α. 7. παράδοξον μέντοι δοκεῖ αὐτῷ, πῶς ὁ Ἀριστ. πάλιν περὶ τοῦ αὐτοῦ ποιεῖται λόγον. Λέγομεν οὖν ὅτι ἐπάναγκες ἦν ποιῆσαι λόγον καὶ ὁρίσαι, ὡς ἀνωτέρω εἴρηκεν, ὅτι τὰ μὲν οὐκ ἄνευ σώματος καὶ κινήσεως, οἷον ἡ θρέψις καὶ αἴσθησις, ὁ δὲ νοῦς θύραθεν εἰσιών, ἀκριβέστερον, ὅτι τὸ μὲν χωριστόν, τὰ δ' ἀχώριστα· ἅμα γὰρ τὸ θρεπτικὸν καί ἡ ζωή. «οὔτε γὰρ ὡς ἄψυχον ἂν θείη τις τὸ κύημα κατὰ πάντα τρόπον ἐστερημένον ζωῆς» (736 α. 32)· εἰ δ' ἔστι ζωή, ἔσται καὶ αἴσθησις, καὶ οὕτως ἐνεργοῦν ἐνδελεχῶς καὶ τελειούμενον, καὶ τελείως αἰσθανόμενον, νοῦν ὅμως οὐκ ἔχει. Διὸ ἐκ τῆς ἐμπειρίας, ὡς εἴωθε, συμπεραίνει ὁ Ἀριστ. τὸν νοῦν χωριστὸν εἶναι· τὸ δ' ἀχώριστον αὖ τοῦτο πρῶτον καὶ κυρίως τὸ θρεπτικὸν εἶναι, εἶτα δὲ τὸ αἰσθητικόν. Εἶτα δ' ἀπορεῖ πάλιν ὁ Ἔρτλιχκ, τί ἂν εἴη τὸ χωριστὸν σώματος ἢ ἀχώριστον (σελ. 167)· οὐ γάρ ἄν τι τῶν τριῶν μερῶν τῆς ψυχῆς νοοῖμεν, ἀναφέρεται δὲ εἰς τὸ π. ψυχ. Γ'. δ'. 429 α. 29, ᾗ ὁ Ἀριστ. διαρρήδην χωριστὸν τὸν νοῦν τίθησι· φησί γαρ· «τὸ μὲν γὰρ αἰσθητικὸν οὐκ ἄνευ σώματος, ὁ δέ νοῦς χωριστός». Εἶτα, φησὶν ὁ Ἔρτλιγκ, ὅτι τὸ φυτικὸν καὶ αἰθητικὸν τῆς ψυχῆς, οὐκ εἰσὶ πρότερα, οὐ δὲ θύραθεν εἰσέρχονται (736 β. 21). Ἀλλ' ἔλαθεν αὐτόν, ὡς δοκεῖ, ὅτι σῶμα τῆς γονῆς ὁ Ἀριστ. εἴρηκε, τὸ συνιστάμενον ἤδη, οὐχὶ δὲ τὸ σπέρμα, ὅπερ οὔπω ἐστὶ θρεπτικὸν ἢ αἰσθητικὸν δυνάμει δ' ἄμφω. Εἰ οὖν σῶμά ἐστι, πῶς οὐκ ἔσται τὸ θρεπτικὸν καὶ αἰσθητικόν, εἴπερ τὸ σῶμα ἐντελεχείᾳ καὶ ὑπὸ τοῦ θρεπτικοῦ ἀπεργαζόμενον; Εἶτ' αὖ εἰσάγει τὸ περὶ ψυχ. Β'. β'. 419 α. 19, ᾗ περὶ σώματος πάλιν ὁ λόγος. Ὄντος οὖν τοῦ σώματος, καὶ θρεπτικοῦ καὶ αἰσθητικοῦ παρόντος, νοῦς οὐκ ἔστιν· οὗτος γὰρ τῶν ἀρχῶν, καὶ ἑτέρα ἡ αὐτοῦ ἐνέργεια, οὐ σωματική, εἰ δέ τοῦτο, πῶς οὐκ ἔσται χωριστός; Εἶτα, ἐκ τοῦ ὅτι ὁ Ἀριστ. ταὐτὸ «ψυχικὴν ἀρχὴν», καὶ «ζωτικὴν ἀρχήν», καὶ «θερμότητα ψυχικήν», καὶ «θερμότητα ζωτικὴν» καλεῖ, φησίν· «πῶς οὖν ἄν τις καταμάθοι τοῦτο, εἰ ἐν τῇ διαφόρως ἐχούσῃ ζωτικῇ ἐκείνῃ θερμότητι ὁ νοῦς συμπεριληφθείη»; Ὢ πόσα ἄτοπα ἑνὸς συμβαίνοντος! Τὶς ἐνταῦθα περὶ συνυπάρξεως λόγος, ἀναβοῶντος μάλιστα καὶ χωριστὸν αὐτὸν τοῦ Ἀριστ. ἀνακηρύττοντος; Εἶτα φησὶν ὅτι ὁ Βρεντάνος τό, «τὸ μὲν χωρ .... ὅσ ... τὸ δ' ἀχ ....» ἀποδίδωσι τῷ, «τὸ τῆς γονῆς σῶμα», τὸ δὲ «ὅσοις ἐμπεριλ .... (... νοῦς)», παρεμβεβλημένον ἐκλαμβάνει. Εἰ δὲ τοῦτο ὁ Βρεντάνος ἐποίησεν, οὐ καλῶς ποιήσας ἡμῖν γε δοκεῖ· τὸ γὰρ τῆς γονῆς σῶμά ἐστι τὸ ἔκ τε τοῦ θήλεος καὶ τοῦ ἄρρενος συνιστάμενον σῶμα, εἰς ὃ συναπέρχεται τὸ διττὸν τοῦ τῆς ψυχικῆς ἀρχῆς σπέρματος τό τε χωριστὸν καὶ τὸ ἀχώριστον, ὃ πνευματοῦται καὶ σωματοῦται, καὶ οὕτω τὴν θρέψιν προάγει. Ὥστε τὸ χωριστὸν καὶ ἀχώριστον τῷ σπέρματι τῆς ψυχικῆς ἀρχῆς ἀποδοτέον, οὐ δ' ἀνάγκη δ' ὡς παρεμβεβλημένον τι ἐκλαβεῖν. Εἶτα ἐκ τοῦ ὅτι ἐνιαχοῦ ἀντὶ σπέρματος ἡ γονὴ τέθειται, οἴεται ὅτι τοιοῦτό τι καὶ ἐνταῦθα νοηθῆναι ἠδύνατο, καὶ εἰσάγει τὸ, 736 β. 8. «τὴν μὲν οὖν θρεπτικὴν ψυχὴν τὰ σπέρματα καὶ τὰ κυήματα τὰ ἀχώριστα δῆλον ὅτι δυνάμει μὲν ἔχοντα θετέον, πρὶν ἢ καθάπερ τὰ χωριζόμενα τῶν κυημάτων ἕλκει τὴν τροφήν ...» Ἀλλ', ὦ 'γαθέ, ποῖόν

Οὕτως οὖν ἔχομεν τὸ θερμὸν ὡς ἀρχήν, οὐ μέντοι τὴν κυρίως καὶ πρώτην, ἀλλ' ὡς ὄργανον καὶ συναίτιον, πρώτην δὲ τὴν φύσιν, «ἀφ' ἧς καὶ ἡ γένεσις» ἐν ᾗ καὶ ἡ ψυχικὴ ἀρχή, αὕτη δ' ἐστὶν ἡ θρεπτικὴ δύναμις, ἡ ὡρισμένη ἐκείνη καὶ κατὰ σταθεροὺς νόμους δημιουργικὴ τῆς φύσεως ἐνέργεια κατὰ λόγον, καθάπερ σοφός τις τεχνίτης, ἐργαζομένη τὰ καθ' ἕκαστον. Ταὐτὸ δὲ καὶ γένεσις, εἴπερ γένεσίς ἐστιν «ἡ πρώτη μέθεξις ἐν τῷ θερμῷ τῆς θρεπτικῆς ψυχῆς, ζωὴ δὲ ἡ μονὴ ταύτης» [57]), οὐχ ἕτερον δ' ἡ πρώτη ἐντελέχεια. Ἐντελέχεια οὖν πρώτη ἔσται τὸ θρεπτικὸν μέρος τῆς ψυχῆς, ὡς θεμέλιον τρόπον τινὰ καὶ ἀρχὴ τῆς περαιτέρω τῶν ἄλλων δυνάμεων τελειώσεως [58]).

Ἐκ τῶν εἰρημένων οὖν οὐδέν ἕτερον ἡ πρώτη ἐντελέχεια δοκεῖ εἶναι,

---

τι ἐν τούτοις ἐννοητέον; τὰ χωριζόμενα ἐνταῦθ' ἂν εἴησαν τὰ ᾠά φησιν ἐν ἀντιθέσει πρὸς τὰ μετὰ τοῦ μητρικοῦ ὀργανισμοῦ συνδεόμενα ἔμβρυα. Ἀλλὰ πῶς ἂν εἴησαν τὰ ᾠὰ τὰ χωριζόμενα, εἴπερ καίτοι χωριζόμενα ὅμως ἕλκει τὴν τροφήν; πῶς δ' οὐκ ἂν εἴησαν ἄμεινον τὰ ἔμβρυα, ἅτινα χωρίζεται τοῦ τῆς μητρός σώματος καὶ διὰ τοῦ ὀμφαλοῦ ἕλκει τὴν τροφήν; Ἐκτὸς δὲ τούτων ἐνταῦθα ὁ λόγος μόνον περὶ τῆς θρεπτικῆς ψυχῆς, ἥτις ὑφίσταται τότε, ὅτε τὰ χρήσιμα περιττώματα συνίσταται ὑπὸ τῆς ψυχικῆς ἐν τῷ τοῦ ἄρρενος σπέρματι ἐνυπαρχούσης ἀρχῆς, καὶ ἀποτελεῖται τὸ κύημα. Ἐν τῷ συνίστασθαι γοῦν, τῇ πρώτῃ καὶ ἀτελεῖ κινήσει οὔπω τὸ θρεπτικὸν ἐνεργείᾳ ἀλλὰ δυνάμει ἔτι ἐστίν, ὡς οὐ χωριστόν, καὶ ἐξ ἄλλων ἀρχῶν ἀποτελούμενον. Ὅταν δὲ μετάσχῃ τὸ τοῦ θήλεος περίττωμα τῆς ψυχικῆς ἀρχῆς καὶ γένηται τὸ κύημα, τότε χωριστόν πως τοῦτο, καὶ ἐνεργείᾳ θρεπτικόν, ἐν ἑαυτῷ θρεπτικὴν ἀρχὴν ἔχον, καὶ ἕλκον τὴν τρόφιμον ὕλην διὰ τοῦ ὀμφαλοῦ. Διὰ τοῦτο καὶ ὁ Ἀριστ. «πρὶν ἢ καθάπερ ...» πρὶν ἢ δῆλον ὅτι ἐν ἑαυτοῖς ἀποτελεσθῇ τὸ θρεπτικόν, καὶ αὐτὸ ἑαυτὸ τὸ κύημα διὰ τῆς ἐνυπαρχούσης ἀρχῆς τρέφῃ· τότε γὰρ ἐνεργείᾳ ἡ θρεπτικὴ ψυχὴ ἔσται. Οὐδέν οὖν κοινὸν τό 736 β. 8 τῷ 737 α. 11 ἔχει, οὐδ' ἦν τις χρεία μηδόλως προσήκουσαν ἑρμηνείαν ποιεῖν, καὶ τὴν αὐτὴν ὡς ἄτοπον δεῖξαι ἐκτὸς τοῦ προκειμένου ζητοῦντα. Εἶτα περὶ γενέσεως ἐντόμων ποιεῖται λόγον, οὐκ οἶδ' ὅπως εἰς τοῦτο ἥκων, καὶ τὸ χωριστ. σῶμ. (τί διὰ τούτου εἰπεῖν θέλει, εἴτε χωριστὸν σώματος, εἴτε χωριστὸν σῶμα, ὡσαύτως οὐκ οἶδα, τὸ πρῶτον δέ δοκεῖ) τά ἔντομα ἀναφέρων 'οἱονεὶ ἐν σκότει ψηλαφῶν, καὶ πολλῶν ἁπτόμενος, καὶ ταὐτὰ φάσκων εἶναι ὁτέ μεν, ὁτέ δ' οὔ, καὶ ἐπὶ τοῦ αὐτοῦ νῦν μὲν ἀπόφασιν, νῦν δὲ κατάφασιν προϊέμενος, ὡς εἴωθε τοῦτο συμβαίνειν τοῖς ἐπὶ ὑποθέσεων οἰκοδομοῦσιν. Ἐπεὶ τὶς χρεία ὑποτιθέναι ὅτι δήποτε τῷ εἰδότι ὅτι ἐνταῦθα οὔτε περὶ ἐντόμων, ἢ ἄλλου τινὸς εἴδους ζώων ὁ λόγος, ἀλλὰ καθόλου περὶ τοῦ γένους τῶν ζώων καὶ τῆς πρώτης ζωογονούσης ἀρχῆς; Πλὴν ταῦτα πάντα εἰκότως ἂν συμβαῖεν, ἑνός ἀτόπου συμβάντος, ὡς δ' ἡμῖν τὸ χωρίον ἡρμήνευται, πᾶσα δυσχέρεια λύεται, καί ἁρμονικώτατα τῇ συμπάσῃ τοῦ Ἀριστοτέλους διδασκαλίᾳ ἔχει. Τὸ δέ, τόδε ἢ ἐκεῖνο τὸ μέρος ἢ μόριον τοῦ χωρίου μεταβαλεῖν, ἢ ἐξαιρεῖν, ἢ ἐμβόλιμον ἡγεῖσθαι, οὐ πάνυ τοι καλῶς τὰ ἀριστοτέλεια μεμυημένον ὑποδείκνυσιν.

57) π. Ἀναπν. ιη'. 479 α. 29.

58) Αὐτόθ. η'. 474 β. 10. «Τὰς μὲν οὖν ἄλλας δυνάμεις τῆς ψυχῆς ἀδύνατον ὑπάρχειν ἄνευ τῆς θρεπτικῆς, ταύτην δ' ἄνευ τοῦ φυσικοῦ πυρός».

ἢ ἡ δημιουργικὴ κατὰ λόγον ἐνεργοῦσα τῆς φύσεως δύναμις, οὐ χωριστὴ τοῦ θερμοῦ, ἀλλ' ἐν αὐτῷ τῷ θερμῷ ἢ μετ' αὐτοῦ καὶ πρώτη καὶ ἀρχικὴ αἰτία, τὸ δὲ θερμὸν ὡς ὄργανον καὶ τὴν ὕλην παρασκευάζον[59]). Ἡ δὲ δύναμις αὕτη ἡ δημιουργικὴ ἐνδελεχῶς ἐνεργοῦσα καὶ μορφοῦσα, ἂν τὸ θερμὸν παρεσκευακὸς τὴν ὕλην παρῇ, διὸ καὶ ἐκ σεσηπυιῶν ὑλῶν, καὶ αὐτόματα τρόπον τινὰ γίγνονται ζωΰφιά τινα, διαπρυσίως τὴν τοιαύτην δημιουργικὴν δύναμιν μαρτυροῦντα[60]).

Δέδεικται οὖν ἀρτίως ὅτι τριῶν ἀρχῶν ἀνάγκη, πρῶτον μὲν τῆς ψυχικῆς ἀρχῆς τῆς δυνάμει ἐν τῷ ἄρρενι ἐμπεριλαμβανομένης, δεύτερον δὲ τοῦ θερμοῦ ὡς δευτέρας ἀρχῆς καὶ ὀργάνου, καὶ τρίτον τῆς ὕλης, ἣν αὐτὸ τὸ ὄργανον ὑπὸ τῆς πρώτης ἀρχῆς κινούμενον παρασκευάζει. Ἡ πρώτη δ' ἐκείνη ἀρχὴ ὡρίσθη ὡς ἡ δημιουργικὴ τῆς φύσεως δύναμις κατὰ λόγον ἐνεργοῦσα καὶ ἀποτελοῦσα πρῶτον τὸ θρεπτικὸν μέρος τῆς ψυχῆς. Εἴπερ οὖν πρῶτον τὸ θρεπτικὸν ἐν ἑαυτῷ ἀρχὴν κινήσεως ἔχον, ἀνάγκη τὸ πρῶτον τοῦτο εἰδέναι, πρὸς τὸ καὶ τὸ μετὰ τόδε εἰδέναι· πῶς γὰρ ἄν τις τὸ ἐχόμενον εἰδείη τὴν ἀρχὴν ἀγνοῶν; ψυχὴν οὖν καὶ ψυχῆς τὸ πρῶτον. Ἐπεὶ δὲ «πάντῃ πάντως ἐστὶ τῶν χαλεπωτάτων λαβεῖν τινα πίστιν περὶ αὐτῆς», καὶ ἐπεὶ «οἷον ἀρχὴ τῶν ζῴων ἐστὶν»[61]), τὴν ἀρχὴν ταύτην ζητητέον. Ἐπεὶ δ' αὖ ὁ Ἀριστ. αὐτὸς ἐν τῷ «π. ζω. γενέσεως» εἰς τὸ «περὶ ψυχῆς» ἀποπέμπει ἡμᾶς πρὸς τὸ εἰδέναι διατὶ τοῦτο πρῶτον ζητητέον, ἐνταῦθα διατρίψωμεν[62]).

§ 7. Τὴν ἰδίαν διδασκαλίαν ὁ Ἀριστοτ. ἐκθεῖναι προτιθέμενος κοινότατόν τινα λόγον ζητεῖ, ὃς πᾶσιν ἁρμόσει ὡς πρωτίστη ἀρχὴ καὶ ὑποκείμενον πάντων. Πιστὸς δὲ τῇ ἑαυτοῦ μεθόδῳ, ὅτι τὸν ζητοῦντα ἀνάγκη τῇ αἰσθήσει ὡς ἀσφαλεῖ ἡγεμόνι χρῆσθαι, καὶ μὴ αὐτοσχεδιάζειν

59) Τοῦτο δ' ἐναργέστερον ἄν τις ἐν τοῖς ᾠοῖς σκοποῖ· τὸ μὲν γὰρ ᾠὸν ἔχει ἐν ἑαυτῷ τὴν ὕλην τὴν θρεπτικὴν τὴν ἐν τῇ ἀλεκτορίδι διὰ τοῦ θερμοῦ παρασκευασθεῖσαν, ἔχει δὲ καὶ τὸ σπέρμα, οὐδέποτε μὴν ζωογονεῖται, ἂν μὴ τὸ ἐν αὐτῷ σπέρμα διαλυθῇ τῇ τῆς ἀλεκτορίδος αὖ θερμότητι· ἂν δ' αὖ ὑπηνέμιον ᾖ οὐδ' οὕτω ζωογονεῖται καὶ ἂν ἐπ' ἄπειρον θερμαίνηται. Ἀρχὴ οὖν ζωτικὴ καὶ μεταμορφοῦσα τὴν ὕλην τὴν τρόφιμον, τὸ σπέρμα διὰ τοῦ θερμοῦ. Ποίᾳ δ' οἰκονομίᾳ τῆς φύσεως, ἅμα εἰσιὸν τὸ σπέρμα καὶ συνεφέλκον τὴν τρόφιμον ὕλην, οὐχ ἅμα διαλύεται καὶ ζωογονεῖται, τοῦθ' ἕτερος λόγος. ὅρ. π. ζω. γεν. Β'. γ'. καὶ ε'. καὶ Γ'. α'.

60) Σημειωτέον ὅτι ἐν τῷ π. ζω. γεν. Γ'. ια'. τὸ θερμὸν ἐν τοῖς ὑγροῖς τίθησιν, ἐν οἷς καὶ πνεῦμα, ἐν τούτῳ δὲ θερμότης ψυχική. Τὴν δ' αἰτίαν τοῦ τιμιώτερα ἢ ἀτιμώτερα εἶναι τὰ ζῶα, ἐν τῇ περιλήψει τῆς ψυχικῆς ἀρχῆς τίθησι καὶ τῇ τοῦ σώματος κατασκευῇ Ἀναζητῶν δὲ τὴν ἀρχὴν τοῦ ἀνθρώπου, ὑποτίθησιν ὅτι τὸ πρῶτον ἤτοι ἐκ συνισταμένου σκώληκος ἐγένετο, ἢ ἐξ ᾠοῦ, εἴπερ ποτὲ γηγενεῖς οἱ ἄνθρωποι, μᾶλλον δ' ἐκ σκώληκος «ἧττον δ' ἔχει λόγον ἐκ τῶν ᾠῶν» (763 α. 4).

61) π. ψυχ. Α'. α'. § 1 καὶ 2.

62) π. ζω. γεν. Β'. γ'. 736 α. 35 «ὅτι μὲν οὖν τὴν θρεπτικὴν ἔχουσι ψυχὴν φανερόν (δι' ὅτι δὲ ταύτην πρῶτον ἀναγκαῖον ἐστι λαβεῖν, ἐκ τῶν περὶ ψυχῆς διωρισμένων ἐν ἄλλοις φανερόν)».

καὶ λόγους ποιεῖσθαι ἐκτὸς τῶν φαινομένων, ἀλλὰ πρῶτον τὰ συμβαίνοντα λαβεῖν ἱκανά, εἶτα δὲ τοῖς λόγοις πιστεύειν ὅταν ὁμολογούμενα δεικνύωσι τοῖς φαινομένοις, ποιεῖται τοὺς λόγους[63]). Ἐπεὶ δ' ἐμπειρίαι εἰσίν αἱ πολλαὶ τῶν συμβαινόντων μνῆμαι, ἐκ δὲ τῶν πολλῶν συμβαινόντων τὰ ὡς ἐπὶ τὸ πολὺ συμβαίνοντα γνῶσιν παρέχει· ἵσταται γάρ ποτε καὶ οὕτως ἀρχὴ γίγνεται καὶ ἐξ ἀνάγκης ἐκ τῆς ἐμφύτου ἐν τῇ ἀνθρωπίνῃ ψυχῇ κριτικῆς δυνάμεως[64])· τῶν γὰρ ἅπαξ ἢ ὀλιγάκις συμβαινόντων οὐκ ἔσται γνῶσις, τὰ δ' ἀεὶ καὶ σταθερῶς κατὰ νόμους ἀϊδίους, καὶ γνωριμώτερα ἔσται, ἅτε μιᾶς οὔσης τῆς ἀρχῆς καὶ εἰλικρινοῦς, εἰ δὲ ταῦτα, φανερὸν ὅτι τὰ ἀεὶ συμβαίνοντα λαβεῖν δεῖ[65]). Ἐπεὶ δ' αὖ τὰ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ συμβαίνοντα οὐχ ἅμα, ἀλλὰ τόδε μετὰ τόδε, καὶ τῷ ἐφεξῆς (πορρωτέρω δὲ περὶ τούτου διὰ πλειόνων ἐροῦμεν), ἀνάγκη τὸ πρότερον χρόνῳ καὶ τάξει λαβεῖν (εὔηθες γὰρ ἂν εἴη τῇ ἀληθείᾳ, εἰ τὸ ὕστερον ζητοῖ τις τὸ πρότερον ἀγνοῶν· ταὐτὸν δ' ἂν εἴη, ὡς εἰ ὁ μὴ εἰδὼς νήχεσθαι ἐν τοῖς βαθέσιν ὕδασι μαθεῖν ἐθέλοι).

Οὕτως οὖν ὁ Ἀριστοτέλης τὸ πρότερον τάξει καὶ χρόνῳ ζητεῖ, οὐχ ἁπλῶς δέ, ἀλλ' ὀξεῖ τῷ τῆς διανοίας βλέμματι τὰ εἴδη τὰ ἄτομα, καὶ τὰ ὡς γένους εἴδη διαδραμὼν ἐνορᾷ εἴ τι κοινὸν τοῖς πλείοσιν, ἢ πᾶσιν, ἢ κατὰ πάντων κατηγορούμενον, καὶ τὴν μεγίστην καὶ ἀνωτάτην ἐν τοῖς ἀνωτάτοις γένεσι διαφοράν. Τύπῳ μὲν οὖν καὶ καθόλου εἰρηκώς τινα περὶ ψυχῆς[66]), καὶ ὡς συμπεράσματα τοὺς λόγους τοῦ ὅρου, καὶ τὸ ὅτι μόνον, οὐ μὴν καὶ τὸ διατὶ λαμβάνων[67]), ἀνασκοπεῖ ὡς ἐξ ὑπαρχῆς πάντα τὰ ὄντα, καὶ εἰς δύο συστοιχίας χωρίζει αὐτά, τό τε ἔμψυχον καὶ τὸ ἄψυχον καὶ τὴν μεγίστην αὐτῶν διαφορὰν διορίζει, τὸ ζῆν[68])· τοῦτο γὰρ καὶ φυτοῖς, καὶ ζώοις ὑπάρχει ὡς ἕξις, τῇ δ' ἑτέρᾳ συστοιχίᾳ στέρησις. Ἀλλ' ἐν τῷ ζῆν πολλὰ συμβαίνει, καὶ ἵστασθαι, καὶ αἰσθάνεσθαι, καὶ νοεῖν καὶ τρέφεσθαι, καὶ αὔξειν καὶ φθίνειν[69]), τί οὖν τούτων ληπτέον; νόησιν; ἀλλ' οὐ πᾶσι τοῖς ζώοις τοῦτο· κίνησιν; ἀλλὰ καὶ αὕτη οὐδενὶ τῶν φυτῶν οὐδὲ πᾶσι τοῖς ζώοις[70]), τί οὖν; τὸ

63) π. ζω. γεν. Γ'. ι'. 760 β. 30 «Ἀλλ' ἐάν ποτε ληφθῇ (τὰ συμβαίνοντα ἱκανῶς), τότε τῇ αἰσθήσει μᾶλλον τῶν λόγων πιστευτέον, καὶ τοῖς λόγοις ἐὰν ὁμολογούμενα δεικνύωσι τοῖς φαινομένοις».

64) Ἀναλ. ὑστ. Β'. ιθ'. 99 β. 20 κ. ε.

65) Ὅτι τὰ ἀεὶ συμβαίνοντα τῆς οὐσίας ἂν εἴη· ἡ γὰρ οὐσία ἀεὶ ὡσαύτως κατὰ ταὐτὰ ἔχουσα κατὰ Πλάτωνα, κατὰ δὲ τὸν Ἀριστ. ταὐτόν, καὶ φύσει καὶ ἐξ ἀνάγκης, εἴπερ φύσις ἐκ τῆς αἰωνίου κινήσεως, τοῦ πρῶτον καὶ κυριώτατα κινοῦντος νοῦ, καὶ ὡς ἐπὶ τὸ πολὺ (καὶ γὰρ καὶ αὐτόματα καὶ ἀπὸ τύχης δοκεῖ τινα συμβαίνειν). περὶ τούτων εἴρηται, ὡς οἷόν τ' ἦν ἐν τῷ παρόντι καιρῷ ἡμῖν εἰπεῖν. Ἰστέον δ' ὅμως ὅτι συμβαίνοντα λέγοντες, οὐ ταὐτὸν καὶ συμβεβηκότα νοοῦντες τυγχάνομεν.

66) π. ψυχ. Β'. α'. § 13.

67) Αὐτόθι β'. § 1.

68) Αὐτόθι β'. § 2.

69) Αὐτόθι β'. § 2—3.

70) Κίνησις νοεῖται ἡ κατὰ τόπον ἐνταῦθα.

κοινὸν πᾶσι, τοῦτο δ' ἐστὶν ἡ τροφή, ταύτῃ γὰρ πάντα αὔξει, καὶ ταύτης ἐκλειπούσης ζῶά τε καὶ φυτὰ φθίνει. Ὥστε πρώτη ἡ τροφή, καὶ ταύτης οὔσης ἔσται καὶ τὸ ζῆν ὕστερον καὶ ταύτης ἕνεκα[71]. «*Τὸ δὲ ζῶον διὰ τὴν αἴσθησιν πρώτως· καὶ γὰρ τὰ μὴ κινούμενα μὴ δ' ἀλλάττοντα τόπον ἔχοντα δ' αἴσθησιν ζῶα λέγομεν καὶ οὐ ζῆν μόνον*»[72]. *Ἀλλὰ τὸ ζῶον καλεῖται ζῶον πρώτως διὰ τὴν ἁφήν· αὕτη γὰρ πρώτη τῶν αἰσθήσεων· τῆς δ' ἁφῆς προηγεῖται τὸ θρεπτικόν· πρῶτον γὰρ τρέφεται τὸ ζῶον καὶ εἶτα ἀναφαίνεται ἡ ἁφή, καὶ οὔσης μὲν ἁφῆς ἀνάγκη καὶ τὸ θρεπτικὸν εἶναι, ὄντος δὲ τούτου οὐκ ἀεὶ ἕπεται ἡ ἁφή, ὡς παρὰ τοῖς φυτοῖς· ὥστε πρότερον καὶ κοινὸν πᾶσι τὸ θρεπτικόν ἐστιν, εἰ δὲ τοῦτο, τοῦτο ἐξ ἀνάγκης δεῖ ζητεῖν πρῶτον*[73]. *Ἀλλὰ διατὶ περὶ ταύτης τῆς δυνάμεως σκοπεῖν πρῶτον; μὴ ἆρα τοῦτο τὴν γνῶσιν παρέξει; γελοῖον ὄντως καὶ διανοεῖσθαι τοιοῦτόν τι· πῶς γὰρ ἄν τις ἐπίστασθαι δύναιτο τὴν ἀρχὴν ἀγνοῶν τὴν πρώτην; ἐκ γὰρ μιᾶς ἀρχῆς πλεῖστα συμβαίνει, πῶς οὖν ταῦτα εἰσόμεθα τὴν ἀρχὴν μὴ εἰδότες; τοῦτ' ἂν εἴη ταὐτόν, εἴποτε τις μεμεθυσμένον τινὰ καὶ τραῦμα φέροντα ἴδοι, καὶ τὴν αἰτίαν τοῦ τραύματος τῇ πτώσει ἀποδοίη, ἢ τῷ μεθυστικῷ ποτῷ, καὶ μὴ μᾶλλον τῇ ἀλογίᾳ τοῦ μεθυσκομένου, καὶ ταῖς αἰσχραῖς ἐπιθυμίαις δουλεύοντος. Ἀρχὴ γοῦν πρώτη καὶ κοινὴ φυτοῖς τε καὶ ζώοις ἐστὶν ἡ θρεπτικὴ δύναμις ἡ συνιστᾶσα τὴν ἄμορφον ὕλην εἰς σῶμά τι· οὗτος δὴ καὶ ὁ κοινὸς καὶ ὑποκείμενος πᾶσι τοῖς ἐφεξῆς λόγος, οὐχ ἡ ὕλη καὶ τὰ στοιχεῖα τ' ἀποτελοῦντα αὐτήν, ὡς οὐδὲ στοιχεῖα καὶ ῥήματα, ἀλλὰ πρότασις τελεία καὶ τέλειόν τι καὶ ἀρχὴ τῆς περαιτέρω τελειώσεως*[74]. *Διὸ γελοῖον τὸν τοιοῦτονλόγον, ὃς οὐδενὸς τῶν ὄντων ἔσται ἴδιος (ὄντων δὲ λέγομεν τῶν ψυχικῶν) ἀλλὰ κοινὸς πᾶσιν, ἐᾶν καὶ ζητεῖν ἐν τούτῳ τῷ εἴδει τῷ ἀτόμῳ, ἢ ἐν τῷ οἰκείῳ, τῷ ἀνθρωπίνῳ δῆλον ὅτι, καὶ μὴ ἐν πᾶσιν ἀναζητεῖν καὶ τὸν κοινὸν ἀνευρεῖν*[75]. *Εἴ τις*

---

71) Αὐτόθ. *β'.* § 4 «*τὸ μὲν οὖν ζῆν διὰ τὴν ἀρχὴν ταύτην ὑπάρχει τοῖς ζώοις*».

72) Αὐτόθι.

73) *Σημειωτέον δ' ὅτι πανταχοῦ, ἡ περὶ τῶν τῆς ψυχῆς μερῶν ὁ λόγος, πρῶτον τὸ θρεπτικὸν τίθεται, ὡς αὐτόθι β'.* § 6. *γ'.* § 1.

74) Οὗτος *δ' ἐστὶν ὁ κοινὸς λόγος, τὸ πᾶσι τοῖς ὀργανικοῖς ὑποκείμενον θρεπτικόν.* «Τὸν *αὐτὸν τρόπον δ' εἷς ἂν εἴη λόγος ψυχῆς τε καὶ σχήματος*» (*γ'.* § 5). *Ὡς οὖν ἐν τοῖς σχήμασιν εἴδη πολλά, ἀλλὰ πρῶτον καὶ ὑποκείμενον τρόπον τινὰ ὡς βάσις τὸ τρίγωνον, τά δ' ἄλλα τῷ ἐφεξῆς· «γένοιτο δ' ἂν καὶ ἐπὶ τῶν σχημάτων λόγος κοινός, ὃς ἐφαρμόσει μὲν πᾶσιν, ἴδιος δ' οὐδενός ἔσται σχήματος», οὕτω καὶ ἐν τοῖς τῆς ψυχῆς μέρεσιν. ὅρ.* Μετ. I. *β'.* 1054 *α.* 4.

75) *παράδοξον πῶς ὁ* Τρενδελεμβούργ (*ὅρ. π. ψυχ. σελ.* 348—49), *παρηρμήνευσε τὸ χωρίον τοῦτο* (*π. ψυχ.* Β'. *γ'.* § 5), *καὶ κατεζόφωσε τὸν νοῦν τῶν ῥημάτων, καὶ ταραχῆς μεστὰ κατέστησεν· φησί γαρ ὅτι, ὡς τὰ ἴδια ἄνευ τῶν καθόλου εἰς οὐδὲν χρήσιμά ἐστι μὴ εἰς τὰ καθόλου ἀναγόμενα, οὕτως αὖ τὰ καθόλου ἄνευ τῶν ἰδίων κενά.* «Sicut propria quasi coeca sunt et sua lege carent, si ad generalia non revocantur, ita communis notio propriis destituta, inanis est et exanguis». Ἀλλὰ *πόθεν ἐξάγεται ὅτι ὁ* Ἀριστοτέλης *καὶ τὰ*

δ' ἐπιχειρήσειεν ἐν τῷ οἰκείῳ εἴδει τὴν ψυχὴν ὁρίσαι καὶ μὴ τὸ κοινὸν καὶ πρῶτον ζητεῖν ἀλλὰ τὸ ἴδιον, ὡς, ἴδιον τῷ ἀνθρώπῳ τὸ ἐπιστήμης δεκτικὸν εἶναι, ἢ τὸ λογιστικόν, ἢ τὸ νοῦν ἔχειν, οὐ τὸ πρῶτον ἀποδώσει, ἀλλὰ τὸ ἐφεξῆς καὶ ὕστερον, καὶ τῷ ἀνασκευάζοντι εὐχερῆ τρίβον παρασκευάσει· ἕξει γὰρ ἀντιπαρατιθέναι ὅτι οὐ τοῦτο μόνον ψυχή, ἀλλὰ τούτου δυνάμει ὑπάρχοντος ἦν ἕτερον ἐνεργείᾳ πρότερον· τοῦτο δ' αὖ τὸ ἐνεργείᾳ πρότερον, ὅ ἐστι τὸ αἰσθητικόν, εἴ τις τιθείη, ταὐτὸ δυνάμει δείξει ὁ ἀνασκευάζων ὄν, ἑτέρου αὖ προτέρου χρόνῳ ἐνεργείᾳ ὄντος, καὶ οὕτως ἀναγκάσει τὸν ὁρίζοντα ἀναχωρεῖν ὡσεὶ φαῦλόν τινα ἀρχιτέκτονα πρὸς θεμέλιόν τινα καὶ ἀρχὴν καὶ πρώτην αἰτίαν. Εἰ δ' ἄλλος τις κινήσει τὴν ψυχὴν ὁρίσειεν, ἕξει αὐτῷ τις ἀντιτείνειν ὅτι οὐ μόνον τὰ φυτὰ ἀκίνητα ἀλλὰ καὶ τῶν ζώων πολλά· ὥστε οὔτε ἴδιον ἔσται ἡ κατὰ τόπον κίνησις τοῖς ζώοις πᾶσιν (ὅτι δ' οὐδὲ τὸ παράπαν κίνησις ἡ ψυχή ἐστιν, ἀλλ' ἀκίνητος μᾶλλον καὶ ἀρχὴ κινήσεως, διὰ πολλῶν ἐν τῷ Α'. *βιβλ. δέδεικται), οὔτε κοινόν. Τὸ δὲ φάναι τὴν ψυχὴν ἀριθμὸν πλείονας ἔτι ἀπορίας ἔχει, καὶ οὔτε κοινὸς οὔτε ἴδιος ὁ λόγος ὡσαύτως ἔσται. Εἰ δ' αὖ τις ἐν τῷ τῶν ζώων γένει ἀνέλθοι, καὶ τὸ πᾶσι κοινὸν τοῖς ζώοις καὶ ἴδιον τὸ αἰσθητικὸν ἀποδοίη, καὶ οὗτος ὁ λόγος πεσεῖται· ὕστερον γὰρ τοῦτο, ἔστι δὲ χρόνος, ὅτε ἄλλο τι πρότερον ἐνεργείᾳ, τοῦτο δὲ τὸ γιγνόμενον πρῶτον, ὅτε δῆλον ὅτι οὔτε ὄψις ἢ ἀκοὴ ἢ ὄσφρησις ἢ γεῦσις πάρεστιν, ἄδηλον δ' εἰ καὶ ἡ ἁφὴ ἡ προτέρα πασῶν τῶν αἰσθήσεων. Ὥστε ἀνάγκη, πρὶν ἢ τὰ ἐφεξῆς ζητήσωμεν, τὸ πρῶτον καὶ ὑποκείμενον*

ἴδια σκοπεῖν καὶ λαμβάνειν ἀνάγκη φησίν; μή τι τὰ ληπτέα ζητεῖται; ληπτέον δὲ καὶ τὸ ἴδιον ἑκάστῳ εἴδει ἢ γένει ὁ Ἀριστοτέλης *παρακελεύεται; μηδαμῶς· ἀλλὰ δεῖ ζητεῖν τοιοῦτον λόγον ὃς ἔσται κοινὸς καὶ οὐκ ἴδιός τινος τῶν ὄντων, ὡς τὸ αἰσθητικὸν ὅπερ ἴδιον τοῖς ζώοις, ἢ τὸ νοητικὸν καὶ ἐπιστήμης δεκτικὸν ὅπερ ἴδιον μόνοις τοῖς ἀνθρώποις, τῷ οἰκείῳ ἡμῶν καὶ ἀτόμῳ εἴδει.* Ἐκ *τούτων δὲ μᾶλλον ἄν τις φαίη ὅτι ὁ* Ἀριστ. *ἐᾶν τὰ ἴδια παρακελεύεται, καὶ μὴ παραμένειν ἔν τινι ἀτόμῳ εἴδει καὶ τὸ ἴδιον αὐτοῦ παραλαβεῖν, ἀλλὰ τὴν πρώτην καὶ γενικωτάτην ἀρχὴν ζητεῖν, καὶ ἁρμόζοντα πᾶσι καὶ κοινὸν λόγον.* Εἶτα *τό,* «*τὸν τοιοῦτον*» «notionem ad certam qualitatem redactam» *φησίν.* Ἀλλὰ *τι θέλει τὸ ποιὸν ἐνταῦθα καὶ λόγος ποιοῦ; οὐκ ἆρα περὶ οὐσίας καὶ τοῦ τῆς οὐσίας λόγου ὁ λόγος; οὐχὶ δὲ ὡς* «notionem ad singula quaeque et individua relatam» *ἑρμηνευτέον φησίν· ἀλλὰ τὶς λόγος περὶ τῶν καθ' ἕκαστον ἐν τῷ ἀτόμῳ εἴδει; πλάνην πεπλάνηται ὁ ἀνὴρ οἰκτράν, εἴ τις ποτ' ἦν ὁ οὕτως ἑρμηνεύσας, οὐχ ἥκιστα μὴν καὶ ὁ σοφὸς* Τρενδελεμβούργ, *καὶ ταῦτα εἴπερ τις καὶ ἄλλος, τοῖς τῷ* Ἀριστοτέλει *πεπονημένοις προσομιλήσας· οὔτε γὰρ τὸ ποῖον ἐνταῦθα, οὔτε εἰ τὸ ἴδιον ληπτέον ζητεῖται, ἀλλ' ὁ λόγος. λόγος δ' οὐχ ὁ ἴδιος ἀτόμου τινὸς εἴδους, οἷον, τοῦ τῶν ἀνθρώπων, ἢ καὶ ἀνωτέρου τινὸς ὡς γένους εἴδους, οἷον τῶν ζώων, ἀλλὰ λόγος ὃς οὐδενὸς τῶν ὀργανικῶν ὄντων ἔσται ἴδιος, κοινὸς δὲ πᾶσι τοῖς ἐμψύχοις ἐν τῷ ἀνωτάτῳ γένει, καὶ διαφορὰ μεγίστη, καὶ ἕξις πρὸς τήν στέρησιν ἐν τῇ ἐναντίᾳ συστοιχίᾳ τῶν ἀψύχων.* Καὶ *εἴη μὲν ἂν και τότε ἴδιον, ἀλλ' ἴδιον ἐν τῷ ἀνωτάτῳ γένει καὶ κοινὸν πᾶσι τοῖς ὑπ' αὐτὸ εἴδεσι καὶ ἀρχή, καὶ τὸ τὶ ἦν εἶναι. Διὸ ἀφέντας τὸν τοιοῦτον, τὸν κοινὸν δῆλον ὅτι καὶ πᾶσιν ὑποκείμενον, γελοῖόν ἐστι, φησίν, τὸ ζητεῖν.* Τό,

πᾶσι καὶ κοινὸν σκοπεῖν[76]). Ὅταν οὖν τὴν τῆς ψχῆς ζήτησιν ἡμῖν αὐτοῖς προτεθειμένοι ὦμεν, τότ' ἂν τὸν λόγον καὶ τὴν οὐσίαν αὐτῆς εἰδείημεν, ἂν εἰς τὴν πρώτην ἀρχὴν ἀνατρέξωμεν, καὶ τὶ τὸ πρῶτον τοῦτο προσδιορίσωμεν, καὶ οὐκ ἐμμένοντες εἰς τὸ οἰκεῖον εἶδος καὶ ἄτομον τὰ ἐφεξῆς ζητῶμεν. Ὡς δ' ἐν τοῖς σχήμασι τοῖς γεωμετρικοῖς πρῶτον σχῆμα τὸ τρίγωνον τῇ τάξει καὶ δυνάμει ὑπάρχει πᾶσι τοῖς λοιποῖς, οὕτω καὶ ἐν ταῖς τῆς ψχῆς δυνάμεσι τὸ θρεπτικόν. Καὶ τὰ ἐφεξῆς μὲν οὐ παριτέα, ἀλλὰ πρῶτον τὸ πρῶτον ἐκεῖνο διασαφητέον καὶ οὕτως ἀσφαλῶς ἂν εἰς τὴν περαιτέρω ζήτησιν χωροῖμεν[77]) ζητοῦντες τὸ ἐχόμενον καὶ ὕστερον.

Ἀλλὰ πρίν τις λάβῃ τὶς ἑκάστη δύναμις, ἀνάγκη τὴν ἐνέργειαν πρῶτον λαβεῖν, οἷον πρότερον τὸ τρέφεσθαι καὶ αἰσθάνεσθαι καὶ νοεῖν, τοῦ θρεπτικοῦ καὶ αἰσθητικοῦ καὶ νοητικοῦ τεθεωρηκέναι δεῖ· πρότεραι γὰρ αἱ ἐνέργειαι τῶν δυνάμεων. Εἰ δ' αὖ τὰ ἀντικείμενα τῶν ἐνεργειῶν πρότερα, πρῶτον ταῦτα δεῖ ζητεῖν· ὅτι δὲ πρότερα τ' ἀντικείμενα δῆλον· πρότερον γὰρ ἔσται τὸ αἰσθητὸν τοῦ τε αἰσθάνεσθαι καὶ τοῦ αἰσθητικοῦ, καὶ τὸ νοητὸν τοῦ τε νοεῖν καὶ τοῦ νοητικοῦ. Εἰ οὖν τ' ἀντικείμενα πρότερα τῶν ἐνεργειῶν καὶ δυνάμεων θεωρεῖν δεῖ, πρῶτον τῆς προτέρας δυνάμεως τἀντικείμενον θεωρητέον· ἐπεὶ δ' ἡ τροφὴ προτέρα, ταύτην πρῶτον θεωρητέον· «ἡ γὰρ θρεπτικὴ ψυχὴ καὶ τοῖς ἄλλοις ὑπάρχει, καὶ πρώτη, καὶ κοινοτάτη δύναμίς ἐστι ψυχῆς καθ' ἣν ὑπάρχει τὸ ζῆν ἅπασιν, ἧς ἐστιν ἔργα γεννῆσαι καὶ τροφῇ χρῆσθαι»[78]). Λέγει δὲ προτέρας τὰς ἐνεργείας ὁ Ἀριστ. τῶν δυνάμεων ἐνταῦθα, οὐχὶ χρόνῳ, ἀλλὰ καθὸ γνωριμωτέρας ἡμῖν καὶ ἐγγὺς τῇ αἰσθήσει κατὰ τὸν λόγον, καὶ ἐπεὶ οὐκ ἔστιν ἄλλως τῶν δυνάμεων ἐπιστήμην λαβεῖν· χρόνῳ δὲ αἱ δυνάμεις πρότεραι ἔσονται, οὐδὲ ζητεῖν δὲ τὸ τοιοῦτον δεῖ· εἰ γὰρ οὐκ ἦν πῶς ἂν ἐνεργεῖν δύναιτο; ὡσαύτως δὲ καὶ τὰ ἀντικείμενα πρότερα τῶν ἐνεργειῶν ἔσονται διὰ τὸν αὐτὸν λόγον, εἰ γὰρ τὸ ἀντικείμενον μὴ ἦν πῶς ἂν ἡ δύναμις ἐνήργει;[79]) Ὥστε πρῶτον τὸ ἀντικείμενον δέον εἶναι εἶτα δ' ἐπιέναι τὴν ἐνέργειαν, τῷ θεωροῦντι δὲ τὴν ἐνέργειαν καὶ ἐπισκοποῦντι καλῶς, φανερὰ καὶ ἡ δύναμις ἔσται ἥτις ποτ' ἐστίν. Τὸν τὸν λόγον γοῦν ζητοῦντα ἀνάγκη ἐπαγωγικῶς βαίνειν καὶ ἐκ τῶν ἀντικειμένων καὶ τῶν καθ' ἕκαστον ἐνεργειῶν ἐπὶ τὰς καθόλου δυνάμεις ἀνέρχεσθαι· ἄλλως γὰρ πῶς ἂν εἴη ἐπιστήμην λαβεῖν οὐδὲ φαντασθῆναι δυνατόν. Ὥστε πρὸς τὸν ζητοῦντα τὰς δυνάμεις, καὶ χρόνῳ πρότερον τ' ἀντικείμενα καὶ αἱ ἐνέργειαι ληπτέαι, ὅτε πρὸς αὐτὸν μὲν πρότερα ἔσονται καὶ ἀνάγκη εἶναι, φύσει δ' ὕστερα· ἄλλως δέ, πρότερα ἔσονται μᾶλλον τἀντικείμενα τῶν τε δυνάμεων καὶ τῶν ἐνεργειῶν αὐτῶν· ἀνάγκη γὰρ εἶναι τἀντικείμενα, εἶτα δὲ παρασκευασθῆναι τὴν δύναμιν, καὶ τελευταῖον ἐνεργεῖν αὐτήν. Ὥστε τάξει μὲν καὶ χρόνῳ οὕτως ἔχουσι, πρὸς δὲ τὸν ζητοῦντα ἄλλος τρόπος· καὶ τὸ μὲν ἀντικείμενον ὁμοίως αὐτῷ πρῶτον ἔσται, εἶτα δὲ τὴν ἐνέργειαν ζητήσει καὶ τρίτον τὴν δύναμιν ἐξ ἧς ἡ ἐνέργεια. Εἰ δέ τις τὴν καθόλου φύσιν καὶ πρώτην ἀρχὴν τῶν ὄντων ζητοῖ πρῶτον τὴν ἐνέργειαν εὑρήσει καὶ ἀντικειμένου πρότερον, καὶ αὐτοῦ τοῦ δυνάμει ὄντος[80]), πολλῷ δὲ μᾶλλον τῆς ἐντελεχείᾳ ὑπαρχούσης δυνάμεως. Ἀλλ' ἐνταῦθα οὐ περὶ τοῦ ὄντος ἐνεργείᾳ ἢ δυνάμει ὁ λόγος, καὶ πῶς ἔχουσι πρὸς ἄλληλα, καὶ πότερον τὸ ἐνεργείᾳ ἢ τὸ δυνάμει πρότερον, ἀλλὰ περὶ τοῦ πῶς τὸν τὰ καθ' ἕκαστον θεωροῦντα καὶ τὰς δυνάμεις αὐτῶν ζητεῖν δεῖ[81]).

«οὐ δὲ κατὰ τὸ οἰκεῖον καὶ ἄτομον εἶδος» ἔχει τινὰ δυσχέρειαν, ἢ γὰρ ἐκ τῶν προτέρων τὸ, ἴδιος, προσεννοητέον, ἢ τῷ, ζητεῖν τὸν κοινὸν λόγον δεῖ, συμπληρωτέον· τοῦτο δὲ κάλλιον ἡμῖν δοκεῖ. Καὶ ἔχει μὲν καὶ τὸ πρῶτον λόγον, ἀλλ' οὐκ ἐυοδοῦται τὸ ἑπόμενον «ἀφέντας τὸν τοιοῦτον». Οὕτως οὖν ἔσται· οὐδὲ κατὰ τὸ οἰκεῖον καὶ ἄτομον εἶδος ζητεῖν δεῖ ἀφέντας τὸν τοιοῦτον, τὸν τοῖς πᾶσι κοινόν.

76) Οὐδεὶς δ' ἂν ὑπολάβοι τὸν Ἀριστοτ. μόνον τὸ πρότερον ζητεῖν παρακελευόμενον, ἀλλὰ τὸ πρότερον πρῶτον, εἶτα δὲ τὸ ἐφεξῆς· τοῦτο δ' ἐκ τῶνδε φανερόν· «ὥστε καὶ καθ' ἕκαστον ζητητέον τὶς ἑκάστου ψυχή, οἷον, τὶς φυτοῦ, καὶ τὶς ἀνθρώπου ἢ θηρίου» (π. ψυχ. Β΄. γ΄. § 6. ἢ πρῶτον τὸ φυτὸν τῇ τάξει τίθεται, μόνην τὴν θρεπτικὴν δύναμιν ἔχον), τό δ' ἑπόμενον κάλλιον ἂν ἦν παρεντεθειμένον ὂν «(διὰ τίνα δ' αἰτίαν τῷ ἐφεξῆς οὕτως ἔχουσι σκεπτέον)· ἄνευ μὲν γὰρ τοῦ θρεπτικοῦ τὸ αἰσθητικὸν οὐκ ἔστιν· τοῦ δ' αἰσθητικοῦ χωρίζεται τὸ θρεπτικόν, οἷον ἐν τοῖς φυτοῖς· πάλιν δ' ἄνευ μὲν τοῦ ἁπτικοῦ τῶν ἄλλων αἰσθήσεων οὐδεμία ὑπάρχει· πολλὰ γὰρ τῶν ζώων οὔτ' ὄψιν οὔτ' ἀκοὴν ἔχουσιν, οὔτ' ὀσμῆς αἴσθησιν . . .» ἐξ ὧν καταφαίνεται ὅτι τὸ φυτικὸν μέρος τῆς ψυχῆς πρῶτον ζητητέον· ὅρ. καὶ π. ὕπν. κ. ἐγρηγ. α΄. 454 α. 11 κ. ε.

77) Ὅτι ἄτομον εἶδος ὁ Ἀριστ. τὸ εἶδος τὸ ἀδιαίρετον καλεῖ, τὸ «ἓν κατ' εἶδος» ὅρ. Μετ. Δ. στ΄. 1016 α. 31 καὶ θ΄. 1018 α. 13 καὶ Βόνιτσ comment. σελ. 153. Περὶ δὲ τοῦ, πῶς τὰ τῷ ἐφεξῆς ἓν ὅρ. Μετ, Γ. β΄. 1005 α. 8. καὶ Κ. ιβ΄. 1069 α. 30 «. . . . τὸ γὰρ ἑξῆς τινος, ἐφεξῆς καὶ ὕστερόν τι· οὐ γὰρ τὸ ἓν ἑξῆς τῶν δύο, οὐδ' ἡ νουμηνία τῆς δευτέρας· ἐχόμενον δὲ ὃ ἂν ἑξῆς ὂν ἅπτηται . . . . τὸ δὲ συνεχές, ὅπερ ἐχόμενον τι ἢ ἁπτόμενον. Λέγω δὲ συνεχὲς ὅταν ταὐτὸ γένηται καὶ ἓν τὸ ἑκατέρου πέρας, οἷς ἅπτονται καὶ συνέχονται . . . καὶ ὅτι πρῶτον τὸ ἐφεξῆς· καὶ εἰ συνεχὲς ἅπτεται, εἰ δ' ἅπτεται οὔπω συνεχές· ἐν οἷς μή ἐστιν ἀφή, οὐκ ἔστι σύμφυσις ἐν τούτοις» ὅρ. καὶ .π. ψυχ. Α΄. γ΄. § 5 Φυσ. Ε΄. γ΄. 226 β. 18 κ. ε. καὶ Ζ΄. α΄. 231 β. 8.

78) π. ψυχ. Β΄. δ΄. § 1 κ. ε.

79) Ἀντικείμενον ἐνταῦθα ὁ Ἀριστ. φησὶ πᾶν τὸ δεκτικὸν ἐνεργείας τῆς δυνάμεως, οἷον αἰσθήσεως μὲν τὸ αἰσθητόν, καὶ νοήσεως τὸ νοητόν, καὶ θρέψεως τὴν τροφήν, ὡς ὀρθῶς καὶ ὁ Τρενδελεμβούργ τὸ ὑποκείμενον τῇ αἰσθήσει πρὸς τὴν αἴσθησιν εἴρηκεν· «quae sensibus objecta» (σελ. 351), ὀρθότερον δ' ἂν εἴη πᾶν τὸ δεκτικὸν τῆς ἐνεργείας τῆς δυνάμεως.

80) Σημειωτέον ὅτι δύναμιν ὁ Ἀριστοτ. καλεῖ τὴν ὑπάρχουσαν ἐνεργείᾳ, οἷον τὸ αἰσθητικὸν τελείως ἔχον, τὸ δὲ δυνάμει ὂν τὸ οὔπω τόδε τι καὶ ἐνεργείᾳ ὄν, ἀλλ' ἐνδεχόμενον καὶ εἶναι καὶ μὴ εἶναι.

81) Διὸ ὁ Τρενδελεμβούργ οὐκ εὐστόχως τὸ χωρίον ἡρμήνευκε, φησὶ γάρ· «si quidem rationem et causam consulimus, revera sint priores», ἐπεὶ οὐ ζητεῖται ἁπλῶς τὸ ἐνεργείᾳ ὄν, ἀλλ' ἡ ἐνέργεια τοῦ ἐνεργείᾳ ὄντος αἰσθητοῦ καὶ πρὸς τὸν ζητοῦντα· ὄντος δὲ τοῦδε τοῦ καθ' ἕκαστον ζώου ἢ φυτοῦ, καὶ τῶν δυνάμεων αὐτῶν ἐντελῶν οὐσῶν. Οὐδὲ περὶ τοῦ εἶναι ἢ μὴ ἡ ζήτησις,

πᾶσι καὶ κοινὸν σκοπεῖν[76]). Ὅταν οὖν τὴν τῆς ψυχῆς ζήτησιν ἡμῖν αὐτοῖς προτεθειμένοι ὦμεν, τότ' ἂν τὸν λόγον καὶ τὴν οὐσίαν αὐτῆς εἰδείημεν, ἂν εἰς τὴν πρώτην ἀρχὴν ἀνατρέξωμεν, καὶ τὶ τὸ πρῶτον τοῦτο προσδιορίσωμεν, καὶ οὐκ ἐμμένοντες εἰς τὸ οἰκεῖον εἶδος καὶ ἄτομον τὰ ἐφεξῆς ζητῶμεν. Ὡς δ' ἐν τοῖς σχήμασι τοῖς γεωμετρικοῖς πρῶτον σχῆμα τὸ τρίγωνον τῇ τάξει καὶ δυνάμει ὑπάρχει πᾶσι τοῖς λοιποῖς, οὕτω καὶ ἐν ταῖς τῆς ψυχῆς δυνάμεσι τὸ θρεπτικόν. Καὶ τὰ ἐφεξῆς μὲν οὐ παριτέα, ἀλλὰ πρῶτον τὸ πρῶτον ἐκεῖνο διασαφητέον καὶ οὕτως ἀσφαλῶς ἂν εἰς τὴν περαιτέρω ζήτησιν χωροῖμεν[77]) ζητοῦντες τὸ ἐχόμενον καὶ ὕστερον.

Ἀλλὰ πρίν τις λάβῃ τίς ἑκάστη δύναμις, ἀνάγκη τὴν ἐνέργειαν πρῶτον λαβεῖν, οἷον πρότερον τὸ τρέφεσθαι καὶ αἰσθάνεσθαι καὶ νοεῖν, τοῦ θρεπτικοῦ καὶ αἰσθητικοῦ καὶ νοητικοῦ τεθεωρηκέναι δεῖ· πρότεραι γὰρ αἱ ἐνέργειαι τῶν δυνάμεων. Εἰ δ' αὖ τὰ ἀντικείμενα τῶν ἐνεργειῶν πρότερα, πρῶτον ταῦτα δεῖ ζητεῖν· ὅτι δὲ πρότερα τ' ἀντικείμενα δῆλον· πρότερον γὰρ ἔσται τὸ αἰσθητὸν τοῦ τε αἰσθάνεσθαι καὶ τοῦ αἰσθητικοῦ, καὶ τὸ νοητὸν τοῦ τε νοεῖν καὶ τοῦ νοητικοῦ. Εἰ οὖν τ' ἀντικείμενα πρότερα τῶν ἐνεργειῶν καὶ δυνάμεων θεωρεῖν δεῖ, πρῶτον τῆς προτέρας

«οὐ δὲ κατὰ τὸ οἰκεῖον καὶ ἄτομον εἶδος» ἔχει τινὰ δυσχέρειαν, ἢ γὰρ ἐκ τῶν προτέρων τὸ, ἴδιος, προσεννοητέον, ἢ τῷ, ζητεῖν τὸν κοινὸν λόγον δεῖ, συμπληρωτέον· τοῦτο δὲ κάλλιον ἡμῖν δοκεῖ. Καὶ ἔχει μὲν καὶ τὸ πρῶτον λόγον, ἀλλ' οὐκ ἐυοδοῦται τὸ ἑπόμενον «ἀφέντας τὸν τοιοῦτον». Οὕτως οὖν ἔσται· οὐδὲ κατὰ τὸ οἰκεῖον καὶ ἄτομον εἶδος ζητεῖν δεῖ ἀφέντας τὸν τοιοῦτον, τὸν τοῖς πᾶσι κοινόν.

76) Οὐδεὶς δ' ἂν ὑπολάβοι τὸν Ἀριστοτ. μόνον τὸ πρότερον ζητεῖν παρακελευόμενον, ἀλλὰ τὸ πρότερον πρῶτον, εἶτα δὲ τὸ ἐφεξῆς· τοῦτο δ' ἐκ τῶνδε φανερόν· «ὥστε καὶ καθ' ἕκαστον ζητητέον τὶς ἑκάστου ψυχή, οἷον, τὶς φυτοῦ, καὶ τὶς ἀνθρώπου ἢ θηρίου» (π. ψυχ. Β΄. γ΄. § 6. ἧ πρῶτον τὸ φυτὸν τῇ τάξει τίθεται, μόνην τὴν θρεπτικὴν δύναμιν ἔχον), τό δ' ἑπόμενον κάλλιον ἂν ἦν παρεντεθειμένον ὄν «(διὰ τίνα δ' αἰτίαν τῷ ἐφεξῆς οὕτως ἔχουσι σκεπτέον)· ἄνευ μὲν γὰρ τοῦ θρεπτικοῦ τὸ αἰσθητικὸν οὐκ ἔστιν· τοῦ δ' αἰσθητικοῦ χωρίζεται τὸ θρεπτικόν, οἷον ἐν τοῖς φυτοῖς· πάλιν δ' ἄνευ μὲν τοῦ ἁπτικοῦ τῶν ἄλλων αἰσθήσεων οὐδεμία ὑπάρχει· πολλὰ γὰρ τῶν ζώων οὔτ' ὄψιν οὔτ' ἀκοὴν ἔχουσιν, οὔτ' ὀσμῆς αἴσθησιν . . .» ἐξ ὧν καταφαίνεται ὅτι τὸ φυτικὸν μέρος τῆς ψυχῆς πρῶτον ζητητέον· ὅρ. καὶ π. ὕπν. κ. ἐγρηγ. α΄. 454 α. 11 κ. ε.

77) Ὅτι ἄτομον εἶδος ὁ Ἀριστ. τὸ εἶδος τὸ ἀδιαίρετον καλεῖ, τὸ «ἓν κατ' εἶδος» ὅρ. Μετ. Δ. στ΄. 1016 α. 31 καὶ θ΄. 1018 α. 13 καὶ Βόνιτσ comment. σελ. 153. Περὶ δὲ τοῦ, πῶς τὰ τῷ ἐφεξῆς ἓν ὅρ. Μετ, Γ. β΄. 1005 α. 8. καὶ Κ. ιβ΄. 1069 α. 30 «. . . . τὸ γὰρ ἑξῆς τινος, ἐφεξῆς καὶ ὕστερόν τι· οὐ γὰρ τὸ ἓν ἑξῆς τῶν δύο, οὐδ' ἡ νουμηνία τῆς δευτέρας· ἐχόμενον δὲ ὃ ἂν ἑξῆς ὂν ἅπτηται . . . . τὸ δὲ συνεχές, ὅπερ ἐχόμενον τι ἢ ἁπτόμενον. Λέγω δὲ συνεχὲς ὅταν ταὐτὸ γένηται καὶ ἓν τὸ ἑκατέρου πέρας, οἷς ἅπτονται καὶ συνέχονται . . . καὶ ὅτι πρῶτον τὸ ἐφεξῆς· καὶ εἰ συνεχὲς ἅπτεται, εἰ δ' ἅπτεται οὔπω συνεχές· ἐν οἷς μή ἐστιν ἁφή, οὐκ ἔστι σύμφυσις ἐν τούτοις» ὅρ. καὶ .π. ψυχ. Α΄. γ΄. § 5 Φυσ. Ε΄. γ΄. 226 β. 18 κ. ε. καὶ Ζ΄. α΄. 231 β. 8.

δυνάμεως τἀντικείμενον θεωρητέον· ἐπεὶ δ' ἡ τροφὴ προτέρα, ταύτην πρῶτον θεωρητέον· «ἡ γὰρ θρεπτικὴ ψυχὴ καὶ τοῖς ἄλλοις ὑπάρχει, καὶ πρώτη, καὶ κοινοτάτη δύναμίς ἐστι ψυχῆς καθ' ἣν ὑπάρχει τὸ ζῆν ἅπασιν, ἧς ἐστιν ἔργα γεννῆσαι καὶ τροφῇ χρῆσθαι»[78]). Λέγει δὲ προτέρας τὰς ἐνεργείας ὁ Ἀριστ. τῶν δυνάμεων ἐνταῦθα, οὐχὶ χρόνῳ, ἀλλὰ καθὸ γνωριμωτέρας ἡμῖν καὶ ἐγγὺς τῇ αἰσθήσει κατὰ τὸν λόγον, καὶ ἐπεὶ οὐκ ἔστιν ἄλλως τῶν δυνάμεων ἐπιστήμην λαβεῖν· χρόνῳ δὲ αἱ δυνάμεις πρότεραι ἔσονται, οὐδὲ ζητεῖν δὲ τὸ τοιοῦτον δεῖ· εἰ γὰρ οὐκ ἦν πῶς ἂν ἐνεργεῖν δύναιτο; ὡσαύτως δὲ καὶ τὰ ἀντικείμενα πρότερα τῶν ἐνεργειῶν ἔσονται διὰ τὸν αὐτὸν λόγον, εἰ γὰρ τὸ ἀντικείμενον μὴ ἦν πῶς ἂν ἡ δύναμις ἐνήργει;[79]) Ὥστε πρῶτον τὸ ἀντικείμενον δέον εἶναι εἶτα δ' ἐπιέναι τὴν ἐνέργειαν, τῷ θεωροῦντι δὲ τὴν ἐνέργειαν καὶ ἐπισκοποῦντι καλῶς, φανερὰ καὶ ἡ δύναμις ἔσται ἥτις ποτ' ἐστίν. Τὸν τὸν λόγον γοῦν ζητοῦντα ἀνάγκη ἐπαγωγικῶς βαίνειν καὶ ἐκ τῶν ἀντικειμένων καὶ τῶν καθ' ἕκαστον ἐνεργειῶν ἐπὶ τὰς καθόλου δυνάμεις ἀνέρχεσθαι· ἄλλως γὰρ πῶς ἂν εἴη ἐπιστήμην λαβεῖν οὐδὲ φαντασθῆναι δυνατόν. Ὥστε πρὸς τὸν ζητοῦντα τὰς δυνάμεις, καὶ χρόνῳ πρότερον τ' ἀντικείμενα καὶ αἱ ἐνέργειαι ληπτέαι, ὅτε πρὸς αὐτὸν μὲν πρότερα ἔσονται καὶ ἀνάγκη εἶναι, φύσει δ' ὕστερα· ἄλλως δέ, πρότερα ἔσονται μᾶλλον τἀντικείμενα τῶν τε δυνάμεων καὶ τῶν ἐνεργειῶν αὐτῶν· ἀνάγκη γὰρ εἶναι τἀντικείμενα, εἶτα δὲ παρασκευασθῆναι τὴν δύναμιν, καὶ τελευταῖον ἐνεργεῖν αὐτήν. Ὥστε τάξει μὲν καὶ χρόνῳ οὕτως ἔχουσι, πρὸς δὲ τὸν ζητοῦντα ἄλλος τρόπος· καὶ τὸ μὲν ἀντικείμενον ὁμοίως αὐτῷ πρῶτον ἔσται, εἶτα δὲ τὴν ἐνέργειαν ζητήσει καὶ τρίτον τὴν δύναμιν ἐξ ἧς ἡ ἐνέργεια. Εἰ δέ τις τὴν καθόλου φύσιν καὶ πρώτην ἀρχὴν τῶν ὄντων ζητοῖ πρῶτον τὴν ἐνέργειαν εὑρήσει καὶ ἀντικειμένου πρότερον, καὶ αὐτοῦ τοῦ δυνάμει ὄντος[80]), πολλῷ δὲ μᾶλλον τῆς ἐντελεχείᾳ ὑπαρχούσης δυνάμεως. Ἀλλ' ἐνταῦθα οὐ περὶ τοῦ ὄντος ἐνεργείᾳ ἢ δυνάμει ὁ λόγος, καὶ πῶς ἔχουσι πρὸς ἄλληλα, καὶ πότερον τὸ ἐνεργείᾳ ἢ τὸ δυνάμει πρότερον, ἀλλὰ περὶ τοῦ πῶς τὸν τὰ καθ' ἕκαστον θεωροῦντα καὶ τὰς δυνάμεις αὐτῶν ζητεῖν δεῖ[81]).

---

78) π. ψυχ. Β΄. δ΄. § 1 κ. ε.

79) Ἀντικείμενον ἐνταῦθα ὁ Ἀριστ. φησὶ πᾶν τὸ δεκτικὸν ἐνεργείας τῆς δυνάμεως, οἷον αἰσθήσεως μὲν τὸ αἰσθητόν, καὶ νοήσεως τὸ νοητόν, καὶ θρέψεως τὴν τροφήν, ὡς ὀρθῶς καὶ ὁ Τρενδελεμβούργ τὸ ὑποκείμενον τῇ αἰσθήσει πρὸς τὴν αἴσθησιν εἴρηκεν· «quae sensibus objecta» (σελ. 351), ὀρθότερον δ' ἂν εἴη πᾶν τὸ δεκτικὸν τῆς ἐνεργείας τῆς δυνάμεως.

80) Σημειωτέον ὅτι δύναμιν ὁ Ἀριστοτ. καλεῖ τὴν ὑπάρχουσαν ἐνεργείᾳ, οἷον τὸ αἰσθητικὸν τελείως ἔχον, τὸ δὲ δυνάμει ὂν τὸ οὔπω τόδε τι καὶ ἐνεργείᾳ ὄν, ἀλλ' ἐνδεχόμενον καὶ εἶναι καὶ μὴ εἶναι.

81) Διὸ ὁ Τρενδελεμβούργ οὐκ εὐστόχως τὸ χωρίον ἡρμήνευκε, φησὶ γάρ· «si quidem rationem et causam consulimus, revera sint priores», ἐπεὶ οὐ ζητεῖται ἁπλῶς τὸ ἐνεργείᾳ ὄν, ἀλλ' ἡ ἐνέργεια τοῦ ἐνεργείᾳ ὄντος αἰσθητοῦ καὶ πρὸς τὸν ζητοῦντα· ὄντος δὲ τοῦδε τοῦ καθ' ἕκαστον ζώου ἢ φυτοῦ, καὶ τῶν δυνάμεων αὐτῶν ἐντελῶν οὐσῶν. Οὐδὲ περὶ τοῦ εἶναι ἢ μὴ ἡ ζήτησις,

§ 8. Ὅτι μὲν οὖν πρῶτον τὸ θρεπτικόν, καὶ τοῦτο ἐξ ἀνάγκης ἐν τῇ ζητήσει πρῶτον δεῖ λαβεῖν, ἱκανῶς τό γ' ἐφ' ἡμῖν, δέδεικται. Τὶς οὖν ἐστιν ἡ δύναμις αὕτη τῆς ψυχῆς; μὴ ἄρα ἀνάλογόν τι ἔσται τῷ ἐν τοῖς σχήμασι τριγώνῳ; καὶ καθάπερ ἐκεῖ ἡ χεὶρ τοῦ γεωμέτρου ἡ κινοῦσα ἐκ σημείου τινὸς εἰς ἕτερον ὡρισμένον, καὶ ἀπὸ τούτου εἰς τρίτον, καὶ ἀποτελοῦσα οὕτω τὸ τρίγωνον, μᾶλλον δ' ὁ γεωμέτρης, οὕτως ἔσται καὶ ἐν τῇ ψυχῇ; τὶς δ' ὁ κινῶν ἐνταῦθα καὶ τίνι κινῶν[82]); Περὶ τούτου σιγᾷ ἐπὶ μικρὸν ὁ Ἀριστοτέλης καὶ παραδόξως πως διατέμνει τὴν ζήτησιν, καὶ δύναμιν ψυχῆς τὸ θρεπτικὸν ἀποκαλεῖ, «καθ' ἣν ὑπάρχει τὸ ζῆν ἅπασι»[83]), καὶ ἔργον αὐτῆς τὸ γεννῆσαι καὶ τροφῇ χρῆσθαι. Ψυχὴν οὖν τίθησι καὶ τὸ πρῶτον ἔργον αὐτῆς τροφήν· ἀλλὰ τοῦτο ἐζητεῖτο πρῶτον, ἡ τροφή, καὶ οὐ παυσόμεθα, κατὰ τὴν αὐτοῦ παρακέλευσιν, ζητοῦντες πρῶτον τὸ πρῶτον, εἶτα δὲ καὶ περὶ τῶν ἐφεξῆς, ἢ κινήσεως, ἢ τέλους ἢ οὗτινος δήποτε ἄλλου. Διατρέχοντες οὖν τὰ μεταξὺ καθορῶμεν αὐτὸν ἀνασκευάζοντα τοὺς λέγοντας τὸ πῦρ μόνον αἰτίαν τῆς τροφῆς εἶναι· τὸ γὰρ πῦρ πέφυκεν ἄνω φέρεσθαι ἡ δὲ γῆ κάτω, ἐν δὲ τοῖς φυσικοῖς σώμασιν οὐ διασπᾶται ταῦτα, ἀλλ' ἔστι τι τὸ συνέχον, καὶ τοῦτο πάλιν τὴν ψυχὴν εἶναι, τὸ δὲ πῦρ συναίτιον φησίν[84]). Ἐντεῦθεν δὲ τὴν κοινῶς λεγομένην τροφὴν λαμβάνει ἄπεπτον, ὑπὸ τοῦ θερμοῦ δὲ πεττομένην (ὅτε καὶ τὸ ὅμοιον τῷ ὁμοίῳ τρέφεσθ' ἂν λεχθείη), ὑπὸ δὲ τῆς αὐξητικῆς ἐν τῷ ζῶντι ἀρχῆς καὶ θρεπτικῆς μεταβάλλουσαν εἰς τόδε τὸ τρεφόμενον[85]). Καὶ οὕτω τὴν τροφὴν ὡς οὐσίαν τίθησι καὶ «γενέσεως ποιητικόν, οὐ τοῦ τρεφομένου, ἀλλ' οἷον τὸ τρεφόμενον»

ἀλλὰ περὶ τοῦ ὄντος τοῦδε τί ποτ' ἐστίν, ὅτ' ἐξ ἀνάγκης πρότερον τ' ἀντικείμενα καὶ μετὰ ταῦτα τὰς ἐνεργείας ληπτέον. Διὸ τερὶ τοῦ πῶς δεῖ ζητεῖν τὸ ὂν τοῦτο ὁ λόγος, οὐχὶ δὲ περὶ τοῦ εἰ ἔστιν ἢ μή. Ὥστε οὐ κακῶς ὁ Θεμίστιος, Φιλόπονος καὶ Ἀλέξανδρος ἡρμήνευσαν, ἴσως δ' ὡς γνωστὴν τὴν διάκρισιν οὐκ ἐποιήσαντο, ὅτι φύσει μέν, τὸ ἐνεργείᾳ πρότερον καὶ ὑποκειμένου παντός, πρὸς τὸν ζητοῦντα δὲ ἄλλως. Οὐδ' ἀνάγκη δὲ τὸ μὲν subjective (τὸ κακόζηλον τοῦτο ὑποκειμενικῶς, καὶ εἰς τὴν ἡμετέραν φωνὴν μετενεχθέν, ἀνθ' οὗ ἡμεῖς τὸ Ἀριστοτελ. λογικῶς προαιρούμεθα) καλεῖν, τὴν γνώμην δῆλον ὅτι ἀρχαίων, τὴν δ' ἑαυτοῦ ἐκ τῶν Ἀριστ. δογμάτων objective (ὅπερ ἐστίν, ἀντικειμενικῶς παρ' ἡμῖν, καὶ ἐξωστρακιστέον ἡμῖν γε δοκεῖ, ἑτέρῳ καὶ μάλιστα τῷ πράγματι ἁρμόζοντι, τῷ, ὄντως, χρῆσθαι δυναμένοις)· εἴη δ' ἂν μᾶλλον τοὐναντίον, εἴπερ ἐξ ἀνάγκης οὕτως ἐν τῇ ζητήσει βαδίζειν χρή (ὅρ. π. ψυχ. σελ. 351). Εἰ δ' ὁ Ἀριστ. εἰσί, φησίν, πρὸς ἡμᾶς τοῦτο εἰρημένον ἐστίν.

82) Εἰκότως ἄν τις ἐνταῦθα, τὰς μὲν ὑποκειμένας γραμμὰς ὡς συνεχεῖς κινήσεις σημείου τινὸς οὔσας, τῇ ἐνδελεχεῖ ἐν τῇ φύσει κινήσει, τὸ δὲ θερμόν, τὸ τὴν ὕλην παρασκευάζον, τῇ χειρὶ τοῦ γεωμέτρου ἀπεικάσειεν. Ὡς δ' ἐνταῦθα αἱ γραμμαὶ ὑποκείμεναι τοῖς σχήμασι πᾶσιν, οὕτω καὶ ἐν τῇ φύσει ἡ ὕλη ὑποκειμένη πρός τε σάρκας καὶ ὀστᾶ καὶ νεῦρα κατὰ λόγον τὸν τοῦ ποιητικοῦ.

83) π. ψυχ. Β'. δ'. § 2.

84) Αὐτόθι § 8—9.

85) Αὐτόθι § 10 κ. ε.

καὶ δύναμιν τοιαύτην, ὥστε δύνασθαι παρασκευάζειν ἕτερον οἷον αὐτό, χρωμένην τῷ ἐν τῷ σώματι θερμῷ ὡς ὀργάνῳ, καὶ τῇ τροφίμῳ ὕλῃ, ὡς ὁ κυβερνήτης τῇ χειρὶ καὶ τῷ πηδαλίῳ[86]).

Καθάπερ οὖν τῇ χειρὶ χρῆται καὶ τῷ πηδαλίῳ πρὸς τὸ κυβερνᾷν ὁ κυβερνήτης, οὕτω καὶ ἡ ψυχὴ τῷ θερμῷ καὶ τῇ τροφίμῳ ὕλῃ. Καὶ τὸ μὲν πηδάλιον σὺν τῇ χειρὶ οἱονεὶ ἓν ἀποτελοῦν, κινούμενον κινεῖ ἅμα τὸ πλοῖον, μόνον δὲ κινοῦν ἔσται ἡ τοῦ κυβερνήτου διάνοια, παραπλησίως δὲ καὶ ἐν τῷ τρεφομένῳ συμβαίνει· ἐνταῦθα γὰρ θερμὸν καὶ ἡ ἄπεπτος ὕλη. Ὥσπερ οὖν ἡ χεὶρ τοῦ πηδαλίου ἅπτεται, οὕτως ἐνταῦθα τὸ θερμὸν τῆς ἀπέπτου ὕλης, καὶ κινεῖ μὲν ἡ χεὶρ ἐκεῖ τὸ πηδάλιον, πέττει δ' ἐνταῦθα τὸ θερμὸν τὴν ἄπεπτον τροφήν· ὡς δ' ἐκεῖ, χεὶρ καὶ πηδάλιον, τρόπον τινὰ ταὐτόν, κινεῖ τὸ πλοῖον πρὸς τήνδε ἢ τήνδε τὴν πορείαν, οὕτω καὶ τὸ πεπεμμένον, ὃ ἔκ τε τοῦ θερμοῦ καὶ τῆς ἀπέπτου ὕλης παρεσκευάσθη μεταβάλλει εἰς τόδε τὸ ὀστοῦν ἢ ἐκείνην τὴν σάρκα, καὶ αὔξει τόδε ἢ ἐκεῖνο τοῦ σώματος τὸ μέλος. Ὡς δ' αὖ τοῦ πλοίου πᾶσα κίνησις ἐν τῇ τοῦ κυβερνήτου διανοίᾳ τὴν ἀρχὴν ἔχει καὶ πρός τι τέλος τῇ χειρὶ καὶ τῷ πηδαλίῳ γίγνεται, οὕτω καὶ ἐνταῦθα πᾶσα αὔξησις καὶ πᾶν τρεφόμενον μέλος, πρὸς τέλος τι καὶ κατὰ σταθεροὺς νόμους, τῇ ἀπέπτῳ ὕλῃ καὶ τῷ θερμῷ γίγνεται, οἱ νόμοι δ' οὗτοι καὶ τὸ τέλος τῇ ψυχῇ ἀποδίδοται, τῇ πρώτῃ ἀρχῇ καὶ ἀκινήτῳ, κινούσῃ δὲ μόνον[87]).

---

86) Αὐτόθι ἐφεξῆς. Τὸ «ᾧ τρέφεται» (§ 16) διττόν φησι, τό τε ἐν αὐτῷ θερμόν, καὶ ἡ πεπεμμένη τροφή· ἡ δὲ ψυχὴ ἡ πρώτη θρεπτικὴ δύναμις ἀκίνητος οὖσα, καθάπερ ὁ κυβερνήτης. Τὸ μὲν οὖν θερμὸν τῇ χειρὶ τοῦ κυβερνήτου παραβλητεόν, τὴν δὲ τροφὴν τῷ πηδαλίῳ, ἃ κινεῖται μέν, κινεῖ δ' ἅμα τὸ πλοῖον· καὶ κινουμένην μὲν ὑπὸ τοῦ θερμοῦ τὴν τροφήν, κινοῦσαν δὲ καθὸ μεταβάλλουσαν. Ταὐτὰ δὲ καὶ ὁ Τρενδελεμβούργ· ἀλλ' οὐ καταφρονητέα καὶ ἡ ἑρμηνεία τοῦ Ἀλεξάνδρου καὶ Θεμιστίου τὸ κινοῦν μόνῃ τῇ ψυχῇ ἀποδεδωκότων, ἡ γὰρ χείρ, καὶ αὕτη κινεῖται (ὅρ. Τρενδ. π. ψυχ. Β'. δ'. § 16), τὸ δὲ μᾶλλον ἔχει λόγον, ὃ τὸν σοφὸν Τρενδελεμβούργ διέδρακεν.

87) Τοῦτο δ' ἔτι φανερώτερον καθίσταται, τῷ ἐννοοῦντι χωρὶς ὄντα τὸν κυβερνήτην καὶ ἑτέρῳ τινὶ ἐπιτάσσοντα οὕτως ἢ ἄλλως κινεῖν τὸ πηδάλιον, ὅτ' ἔσται ὄργανον μόνον ὁ κυβερνῶν, καὶ δόξει τῷ μὲν μακρόθεν σκοποῦντι ὁ τὸ πηδάλιον κινῶν κυβερνήτης, ὄντως δ' ἔσται ἄλλος, ὁ ἐπιστήμων καὶ ἀκίνητος ὤν. Ἐκ τούτων ἀναγκαζόμεθα μὴ ἀποδέχεσθαι τὴν τοῦ Τρενδελεμβούργ καὶ Σιμπλικίου ἑρμηνείαν. Ἐπεὶ δὴ τὸ ὄργανον κυρίως ἐστὶν ἡ χείρ, τὰ δ' ἕτερα ὄργανα, οἷον πηδάλιον, καὶ γλύπτης, καὶ γραφὶς καὶ τὰ τοιαῦτα, οἱονεὶ τελείωσις τῆς ἀδυναμίας τῆς χειρός· ἔσται τρόπον τινὰ ταὐτὸν καὶ ἓν τὸ ὄργανον, αἱ δὲ κινήσεις δύο· οὐδὲ πανταχοῦ δὲ διττὸν τὸ ὄργανον εὕρηται· πολλὰ γὰρ τὰ μόνῃ τῇ χειρὶ παρασκευαζόμενα, οἷον παρὰ τοῖς ἀρτοποιοῖς συμβαίνει, παρ' οἷς κινοῦν μὲν καὶ κινούμενον ἡ αὐτὴ χείρ, κινοῦν δὲ μόνον καὶ πρῶτον ἡ διάνοια ἢ ἀνάγκη, εἴ τι ἕτερον ἐκ τῆς πρακτικῆς διανοίας. Ὅτι δ' ἡ ψυχὴ κινοῦσα ἀκίνητός ἐστιν ἐν τῷ γ'. κεφ. τοῦ Α'. βιβλίου π. ψυχῆς δέδεικται, καὶ ὅτι «τῶν ἀδυνάτων τὸ ὑπάρχειν αὐτῇ κίνησιν» (§ 1). Περὶ δὲ τοῦ ὅτι κατὰ συμβεβηκὸς κινεῖται ἡ ψυχή ἐν τῷ κεφ. δ'. § 9. «Κατὰ συμβεβηκὸς δὲ

'Αλλὰ πάντα ταῦτα τύπῳ εἰρημένα εἰσίν[88]), οὐ διεσάφηται δέ τί ἐστι καθ' αὐτὸ τροφή, καὶ πῶς τὸ αὐτὸ θερμὸν νῦν μὲν τόδε, νῦν δ' αὖ ἄλλο ποιεῖ, καὶ πῶς ἐκ τῆς αὐτῆς ὕλης τῆς ὑποκειμένης, τὸ μὲν ὀστοῦν, τὸ δὲ σάρξ, τὸ δὲ νεῦρον καὶ φλέψ καὶ ὄνυξ καὶ θρίξ καὶ γάλα καὶ δάκρυ καὶ εἴ τι ἕτερον γίγνεται. Εἶτα δ' αὖ τὶς ἡ δύναμις ἐκείνη ἡ ὁτέ μεν ἄρρεν, ὁτὲ δὲ θῆλυ καὶ τὰ διάφορα εἴδη δημιουργοῦσα, εἰ ἡ αὐτή, ἢ καθ' ἕκαστον εἶδος ἑτέρα, εἴπερ ἡ ψυχὴ ἀρχὴ τοῦ σώματος, καὶ εἰ λέλυται ἡ ἀπορία, ὅτι ἡ τυχοῦσα ψυχὴ τὸ τυχὸν σῶμα ἐνδύεται[89]). Ταῦτα οὖν ἔχει ἀπορίας, πρῶτον δὲ περὶ τροφῆς διερευνήσωμεν.

§ 9. 'Εν τῷ π. ὕπν. καὶ ἐγρηγ. ἀνερευνῶν τὴν πρώτην τοῦ ὕπνου ἀρχήν, εὑρίσκει αὐτὴν οὐκ ἐν τῇ ἀδοναμίᾳ τοῦ αἰσθητικοῦ μόνον, ἀλλὰ καὶ ἐν τῇ τῆς τροφῆς ἀναθυμιάσει[90])· ἡ δ' ἀναθυμίασις ἅυτη οὐδὲν ἕτερόν ἐστιν ἢ τὸ θερμὸν πνεῦμα συμπαραφέρον τροφίμους ὕλας καὶ πεφυκὸς ἄνω φέρεσθαι, καὶ ἀντιστρέφον καθὸ ὠθούμενον, καὶ μεταβάλλον καθάπερ εὔριπος[91]). Δείκνυται δ' ἅμα ὅτι πρῶτον ἡ τροφὴ καὶ τὸ θρεπτικόν πασῶν τῶν ἑτέρων δυνάμεων ἐκ τῶν ἐμβρύων ἅτινα ἠρεμοῦσιν ἐν ταῖς μήτραις τὸ πρῶτον καὶ οὐδὲν ἕτερον συμβαίνει αὐτοῖς[92]), φανερώτερον δὲ τοῦτο ἐπὶ τοῖς γεγεννημένοις, ἃ σφόδρα καθεύδει, καὶ οἷς τὰ ἄνω μέρη αὔξει[93]). Οὕτως οὖν ἐκ τῶνδε ἔχομεν, τροφὴν μὲν τὴν φύσιν τοῦ αἵματος, ἢ τὴν ἀναθυμίασιν, δῆλον ὅτι τὸ ἐνυπάρχον καὶ διὰ τοῦ συμφύτου θερμοῦ ἀναφερόμενον καὶ τροφίμους ὕλας συμπεριειληφὸς πνεῦμα, θρεπτικὸν δέ, τὴν σφοδρὰν ἐκείνην δημιουργικην δύναμιν, ἥ ἐστιν ἡ πρώτη καὶ αὐτοκράτωρ ἐν τῇ πρώτῃ ἡλικίᾳ, καὶ ἀποτελοῦσα μὲν τὸ πρῶτον αἰσθητήριον, εἰς ἀδράνειαν δ' αὐτὸ καθιστῶσα, ἕως οὗ ἀποτελέσῃ τὸ ἑαυτῆς ἔργον, διὸ καὶ ὁ ὕπνος ἐξ ἀνάγκης γινόμενος ἕνεκα σωτηρίας[94]). "Οτι δὲ ταῦτα οὕτως ἔχει δῆλον καὶ ἐκ τοῦ ὅτι οὐδ' ἐνύπνια συμβαίνει κρατοῦντος τοῦ θρεπτικοῦ, εἶτα δ' αὔξοντος τοῦ παιδίου σπανίως, εἰ δὲ ποτε συμβαίη, τερατώδη τυγχάνουσιν ὄντα[95]). 'Εκ τούτων οὖν δείκνυται ὅτι πρώτη δύναμις ἐν παντὶ ὀργανικῷ ὄντι ἡ θρεπτικὴ καὶ μόνη κρατοῦσα ἐπὶ χρόνον τινά, καὶ ἐν σφοδρᾷ κινήσει παρασκευάζουσα τὴν μεταβάλλουσαν τροφὴν διὰ τοῦ θερμοῦ τοῦ συμφύτου καὶ τοῦ πνεύματος τοῦ ἐνυπάρχοντος ἐν τῷ σώματι. Πάντα δὲ ταῦτα γίγνεται ἐξ ἀνάγκης πρότερον, οἱονεὶ προπαρασκευὴ ὄντα τοῦ αἰσθητικοῦ, ᾧ τά ζῷα διακρίνεται τοῖς ἀτελεστέροις ὀργανικοῖς οὖσι, τοῖς φυτοῖς, καὶ σωτηρίας ἕνεκα· πρὸς τέλος τι ἄρα ἡ ἐνέργεια αὕτη καὶ ἕνεκά του, πᾶσα δ' ἡ ἐνέργεια ἐν κινήσει. 'Αλλ' ἡ κίνησις ἀποδέδοται τῇ φύσει, τῇ αὐτῇ δὲ καὶ τὸ τέλος, αὕτη δ' αὖ τῷ πρῶτον κινοῦντι ἀκινήτῳ, τῷ νῷ. Πάλιν πρὸς τὸν νοῦν ἐπανακάμπτομεν, τὴν δ' ἐν τοῖς καθ' ἕκαστον ἴδιον εἶδος ἀποτελοῦσαν δημιουργικὴν ἐκείνην δύναμιν, ψυχὴν καλουμένην καταμανθάνομεν, καὶ τὴν πρώτην τελείωσιν, οὐ κατὰ πάντα τελείαν, τελείωσίν τινα μέντοι καθὸ ἀποτελοῦσαν τὰ οἰκεῖα ὄργανα, καὶ κοινὴν πᾶσι τοῖς ὀργανικοῖς, φυτοῖς τε καὶ ζώοις, τὰ δὲ «πάντα ἀεὶ ἐν κινήσει ἐστί, καὶ γίγνεται ἢ φθείρεται»[96]), ἡ δὲ τῇ κινήσει δημιουργοῦσα δύναμις ἐνδελεχῶς ἐνεργεῖ. Αὕτη δ' ἡ πρώτη θρεπτικὴ δύναμίς ἐστιν ἡ αἰτία καὶ ἀρχὴ τῆς ζωῆς, διὸ καί τινων ἐντόμων διαιρουμένων, τὸ ἔχον τὴν θρεπτικὴν δύναμιν τμῆμα ζῇ, «τά δ' ἄριστα συνεστηκότα τοῦτ' οὐ πάσχει τῶν ζώων, διὰ τὸ εἶναι τὴν φύσιν αὐτῶν ὡς ἐνδέχεται μάλιστα μίαν»[97]). "Εστι δ' αὕτη ἡ δύναμις

κινεῖσθαι καθάπερ εἴπομεν, ἔστι καὶ κινεῖν ἑαυτήν, οἷον κινεῖσθαι μὲν ἐν ᾧ ἐστι, τοῦτο δὲ κινεῖσθαι ὑπὸ τῆς ψυχῆς». ἐξ ὧν κατάδηλον γίγνεται ὅτι ἐξ αὐτῆς ἡ κίνησις ἀκινήτου ἀρχῆς οὔσης, γενομένης δὲ τῆς πρώτης κινήσεως κινεῖται εἶτα τὸ σῶμα ἐν ᾧ ἐστιν ἡ ψυχή, οὕτω δὲ καὶ αὕτη, κατὰ συμβεβηκὸς κατὰ τόπον κινεῖται.

88) π. ψυχ. Β'. δ'. § 16. «Τύπῳ μὲν οὖν ἡ τροφὴ τί ἐστιν εἴρηται. διασαφητεόν δ' ἐστὶν ὕστερον περὶ αὐτῆς ἐν τοῖς οἰκείοις λόγοις». Τίνες οὗτοι οἱ οἰκεῖοι λόγοι; ὁ Τρενδελ. οἴεται τὸ π. γεν. κ. φθ. καί, π. ὕπν. κ. ἐγρηγ. Ἀλλὰ καὶ ἐν τῷ π. ζω. γεν. πολλὰ περὶ τροφῆς ὡς ὀψόμεθα· ἐν δὲ τῷ π. ὕπν. κ. ἐγρηγ. γ'. 456 β. 5 «εἴρηται δὲ περὶ τούτων ἐν τοῖς περὶ τροφῆς», ὅθεν εἰκάζεται ὅτι ἰδία περὶ τροφῆς συγγραφή ὑπ' αὐτοῦ ἦν. Ἐν δὲ τῷ π. ζω. γεν. Ε'. δ'. 784 β. 3. ῥητῶς ἀναφέρεται συγγραφή «περὶ αὐξήσεως καὶ τροφῆς», ἃ παρεῖδεν ὡς δοκεῖ ὁ Τρενδελ. ὅρ. δὲ καὶ π. ζω. μορ. Β'. ζ'. 653 β. 13 ἔνθα ῥητῶς ἄλλη ἡ περὶ τῆς τροφῆς σκέψις.

89) π. ψυχ. Α'. γ'. § 22—23.

90) γ'. 456 β. 17 «Οὐκ ἔστιν ὁ ὕπνος ἀδυναμία πᾶσα τοῦ αἰσθητικοῦ, ἀλλ' ἐκ τῆς περὶ τὴν τροφὴν ἀναθυμιάσεως γίνεται τὸ πάθος τοῦτο.»

91) Αὐτόθ. β'. 20 κ. ε. ἔνθα δείκνυται ὅτι οὐ μόνον τὰ σιτία ποιητικὰ ἀναθυμιάσεως, ἀλλὰ καὶ τὰ ὑπνωτικά, ὅτε καὶ ἡ καρηβαρία ἕπεται, διὰ τὸ κατάρχεσθαι τὰς ἀναθυμιάσεις.

92) Αὐτόθ. 457 α. 20.

94) Αὐτόθ. α. 3 «Ἔτι δ' ἡ πρώτη ἡλικία· τὰ γὰρ παιδία καθεύδει σφόδρα διὰ τὸ τὴν τροφὴν ἄνω φέρεσθαι. Σημεῖον δὲ τὸ ὑπερβάλλειν τὸ μέγεθος τῶν ἄνω πρὸς τὰ κάτω κατὰ τὴν πρώτην ἡλικίαν, διὰ τὸ ἐπὶ ταῦτα γίγνεσθαι τὴν αὔξησιν» ὅρ. π. φυτ. Α'. ε'. καὶ ζω. πορ. ια'. 710 β. 9.

94) 458 α. 25 «Τὶ μὲν οὖν αἴτιον τοῦ καθεύδειν εἴρηται, ὅτι ἡ ὑπὸ τοῦ σωματώδους τοῦ ἀναφερομένου ὑπὸ τοῦ συμμφτου θερμοῦ ἀντιπερίστασις ἀθρόως ἐπὶ τὸ πρῶτον αἰσθητήριον· καὶ τί ἐστιν ὁ ὕπνος, ὅτι τοῦ πρώτου αἰσθητηρίου κατάληψις πρὸς τὸ μὴ δύνασθαι ἐνεργεῖν, ἐξ ἀνάγκης μὲν γινόμενος (οὐ γὰρ ἐνδέχεται ζῶον εἶναι μὴ συμβαινόντων τῶν ἀπεργαζομένων αὐτό), ἕνεκα δὲ σωτηρίας· σώζει γὰρ ἡ ἀνάπαυσις». Σημειωτέον ὅτι τὴν τοῦ θερμοῦ ἀντιπερίστασιν καὶ παλίρροιαν καλεῖ ἐν τῷ π. ἐνυπ. γ'. 461 α. 6. ὅρ. καὶ π. ζω. γεν. Ε'. α'. 778 β. 23 ἔνθα δείκνυται ὅτι πρότερον ὁ ὕπνος τῆς ἐγρηγόρσεως τοῖς ζώοις, καὶ ὅτι ἐν τῷ χρόνῳ τούτῳ φυτοῦ βίον ζῶσι τὰ ζῶα, καὶ ἡ περίοδος αὕτη μεθόριον τῆς φυτικῆς καὶ αἰσθητικῆς δυνάμεώς ἐστιν.

95) π. ἐνυπν. γ'. 461 α. 10 κ. ε. «ὥστε καθάπερ ἐν ὑγρῷ, ἐὰν σφόδρα κινῇ τις, ὁτὲ μὲν οὐδὲν φαίνεται εἴδωλον, ὁτὲ δὲ φαίνεται μέν διεστραμμένον δὲ πάμπαν» οὕτω καὶ ἐν τοῖς ἐνυπνίοις· ὁ αὐτὸς δέ λόγος ὅτι τερατώδη τὰ ἐνύπνια τοῖς μελαγχολικοῖς καὶ πυρέσσουσι καὶ οἰνωμένοις. Ὅρ. καὶ π. τῆς καθ' ὕπν. μαντ. β. 464 β. 32.

96) π. μακροβ. κ. βραχυβ. β'. 465 β. 26.

97) π. νεότ. κ. γήρ. β'. 468 β. 10. Περὶ δὲ τοῦ ὅτι τὰ φυτὰ διαιρούμενα ζῇ, καὶ τῶν ἐχόντων τὴν αἰσθητικὴν ἀρχὴν τινὰ καὶ αἰσθάνεται, τοῦτο ὅτι τήν τε θρεπτικὴν καὶ αἰσθητικὴν μίαν ἔχουσιν ἐνεργείᾳ, δυνάμει δὲ πλείους.

ἐν τῷ μέσῳ[98]), ὡς τοῦτο καὶ ἐπὶ τῶν ζώων καὶ τῶν φυτῶν δῆλον. Καὶ ἐπὶ μὲν τῶν φυτῶν ἀρχὴ τῆς ζωῆς καὶ μέσον ὁ ὄζος, ἐπὶ δὲ τῶν ζώων ἡ καρδία ἢ τὸ ἀνάλογον, καὶ ταῦτα γίγνεται πρῶτον, «τοῦτο δὲ δῆλον ἐξ ὧν ἐν τοῖς ἐνδεχομένοις ἔτι γινομένοις ἰδεῖν τεϑεωρήκαμεν»[99]). Εἰ δ' ἡ καρδία πρῶτον γίγνεται, ἐν ταύτῃ πρῶτον τὸ ϑρεπτικὸν καὶ πρότερον ἀνάγκη εἶναι· ἡ γὰρ καρδία τρεφομένη γίγνεται, καὶ πρώτη, καὶ κυριωτάτη, καὶ πρὸς τὸ οὗ ἕνεκα οὖ συντελοῦσα, πρὸς δὲ τὸ τούτου ἕνεκα[100]). Κατὰ τὰ φαινόμενα γοῦν κρίνων ὁ Ἀριστ. ἀρχήν τινα ζητεῖ, καὶ ταύτην εὑρίσκει ἐν τῷ μέσῳ τοῦ σώματος, καὶ ἀρχὴν ψυχῆς αὐτὴν καλεῖ, ψυχῆς δὲ τῆς τε αἰσϑητικῆς, καὶ αὐξητικῆς καὶ ϑρεπτικῆς[101]). Ἐκ τούτων οὖν συνάγεται ὅτι ὁ τόπος μόνον ὥρισται ἐν ᾧ ἡ πρώτη ἀρχή ἐστι καὶ ὑποκειμένη καὶ τῇ αἰσϑητικῇ· ἡ ϑρεπτικὴ πρῶτον ἐν τῷ μέσῳ καϑάπερ τις ἄρχων ἱδρυμένη καὶ χρωμένη τῇ ὑπὸ τοῦ ϑερμοῦ παρασκευασϑείσῃ ὕλῃ πρὸς ἕκαστον μόριον, οὐ μέντοιγ' ὑπὸ τοῦ ϑερμοῦ μόνον, ἀλλ' ὑπὸ τῆς ἐν τῇ καρδίᾳ ἐμπεπυρευμένης ψυχῆς[102]). Πάλιν οὖν ψυχὴ τὸ δημιουργοῦν καὶ τῷ ϑερμῷ ὡς ὀργάνῳ χρώμενον καὶ παρασκευάζον τὴν ὕλην καὶ μορφοῦν ἅμα αὐτήν. Ἀλλὰ τίς ἡ ψυχὴ αὕτη ἡ ὡς δημιουργὸς ἐν παντὶ ὀργανικῷ παροῦσα; ἔστι τι αὐϑυπόστατον, ἢ ἄλλοϑι τὴν ἀρχὴν ἔχει; τὴν φύσιν ὁρῶμέν φησιν ἐκ τῶν δυνατῶν ἐν πᾶσι ποιοῦσαν τὸ κάλλιστον[103]).

Οὕτως οὖν ἀπὸ τῆς ψυχῆς εἰς τὴν φύσιν πρσκόπτομεν καὶ φυσικὴν ϑερμότητα, ἥτις ἅμα τῷ ζῆν ὑπάρχει, καὶ ταύτης σωζομένης ζῇ πάντα, φϑειρομένης δὲ φϑείρεται πάντα[104]). Οὕτως οὖν πάλιν ϑερμοῦ ἀνάγκη

---

98) Αὐτόϑ. 468 α. 20 «Ἀλλ' ἥ γε τῆς ϑρεπτικῆς ἀρχὴ ψυχῆς ἐν τῷ μέσῳ τῶν τριῶν μορίων.»

99) Αὐτόϑ. γ'. κεφ. 468 β. 29 καὶ 469 α. 4 «Ἡ δὲ καρδία κυριωτάτη καὶ τὸ τέλος ἐπιτίϑησιν· ὥστ' ἀνάγκη καὶ τῆς αἰσϑητικῆς καὶ τῆς ϑρεπτικῆς ψυχῆς ἐν τῇ καρδίᾳ τὴν ἀρχὴν εἶναι τοῖς ἐναίμοις.

100) Αὐτόϑι ἐφεξῆς· περὶ δὲ τῆς διαφορᾶς τοῦ οὗ ἕνεκα καὶ τοῦ τούτου ἕνεκα ἐροῦμεν κατωτέρω. Ἄπορον δὲ πῶς τὴν ἀφὴν καὶ γεῦσιν ἐν τῇ καρδίᾳ συντεινούσας ὁ Ἀριστ. φησίν. «δύο δὲ φανερῶς ἐνταῦϑα συντεινούσας ὁρῶμεν, τήν τε γεῦσιν καὶ τὴν ἀφήν, ὥστε καὶ τὰς ἄλλας ἀναγκαῖον», καὶ τῶν ἄλλων δ' αἰσϑήσεων φησὶν ἐνταῦϑα ἐνδέχεσϑαι ποιεῖσϑαι τὴν κίνησιν. Εἶτα «χωρίς (δὲ) τούτων» φησίν. «εἰ τὸ ζῆν ἐν τούτῳ τῷ μορίῳ πᾶσίν ἐστιν, δῆλον ὅτι καὶ τὴν αἰσϑητικὴν ἀρχὴν ἀναγκαῖον· ᾗ μὲν γὰρ ζῶον, ταύτῃ καὶ ζῆν φαμεν, ᾗ δ' αἰσϑητικόν, ταύτῃ τὸ σῶμα ζῶον εἶναι λέγομεν». Τὸ μόριον ἐνταῦϑα τὴν καρδίαν σημαίνει ᾗ συντείνει ἡ ἀφὴ ἡ πρώτη τῶν αἰσϑήσεων, δι' οὗ πρῶτον διακρίνεται τοῦ φυτοῦ τὸ ζῶον.

101) Αὐτόϑ. κατωτέρω.

102) π. ζω. κ. ϑαν. δ'. 469 β. 1 κ. ε.

103) Αὐτόϑ. 468 α. 28.

104) Αὐτόϑ. 469 β. 18 «Ἀνάγκη τοίνυν ἅμα τότε ζῆν ὑπάρχειν καὶ τὴν τοῦ ϑερμοῦ τούτου σωτηρίαν, καὶ τὸν καλούμενον ϑάνατον εἶναι τὴν τούτου φϑοράν.»

καὶ ϑρεπτικῆς ψυχῆς, εἴπερ τὸ ϑερμὸν οὐ μόνον ἀλλ' ἐν αὐτῷ ἐμπεπυρευμένη ἡ ϑρεπτικὴ ψυχή, καὶ ὕλης δὲ πρὸς τὸ γενέσϑαι τι[105]).

§ 10. Ἐν τῷ π. ζω. γεν. εἴρηται ὅτι ἡ ψυχὴ ἐκ τοῦ ἄρρενος[106]), καὶ ἡ ἀρχὴ τῆς κινήσεως. «Ὥσπερ δὲ τὰ ὑπὸ τῆς τέχνης γιγνόμενα γίγνεται διὰ τῶν ὀργάνων, ἔστι δ' ἀληϑέστερον εἰπεῖν διὰ τῆς κινήσεως αὐτῶν, αὕτη δ' ἐστὶν ἡ ἐνέργεια τῆς τέχνης, ἡ δὲ τέχνη μορφὴ τῶν γιγνομένων ἐν ἄλλῳ, οὕτως ἡ τῆς ϑρεπτικῆς ψυχῆς δύναμις, ὥσπερ καὶ ἐν αὐτοῖς τοῖς ζώοις καὶ τοις φυτοῖς ὕστερον ἐκ τῆς τροφῆς ποιεῖ τὴν αὔξησιν, χρωμένη οἷον ὀργάνοις ϑερμότητι καὶ ψυχρότητι· (ἐν γὰρ τούτοις ἡ κίνησις ἐκείνης, καὶ λόγῳ τινὶ ἕκαστον γίγνεται), οὕτω καὶ ἐξ ἀρχῆς συνίστησι τὸ φύσει γιγνόμενον· ἡ γὰρ αὐτή ἐστιν ὕλη ᾗ αὐξάνεται, καὶ ἐξ ἧς συνίσταται τὸ πρῶτον, ὥστε καὶ ἡ ποιοῦσα δύναμις ταὐτὸ τῷ ἐξ ἀρχῆς· μείζων δ' αὕτη ἐστίν. Εἰ οὖν αὕτη ἐστὶν ἡ ϑρεπτικὴ ψυχή, αὕτη ἐστὶ καὶ ἡ γεννῶσα· καὶ τοῦτό ἐστιν ἡ **φύσις** ἡ ἑκάστου, ἐνυπάρχουσα καὶ ἐν φυτοῖς καὶ ἐν ζώοις πᾶσιν»[107]). Ἐκ τούτων δ' αὖ φανερόν, ὅτι ἔστι τις δημιουργικὴ ἐν τῷ παντὶ δύναμις ἐν κινήσει συνειλημμένη, καὶ τοῦτ' ἔστιν ἡ ψυχή, ταὐτὸ δ' ἡ φύσις ἡ πρῶτον κινοῦσα κατὰ λόγον καὶ πρός τι τέλος καὶ οὐδὲν μάτην δημιουργοῦσα. Πρώτη οὖν καὶ ἀρχικὴ δύναμις καὶ κινητική, ἡ φύσις τῇ ὕλῃ καὶ τῷ ϑερμῷ ὡς ὀργάνοις χρωμένη καὶ κατὰ μικρὸν ἀποτελοῦσα τόδε μετὰ τόδε, καὶ κατὰ σταϑερούς τινας νόμους προοδοποιοῦσα πρῶτον, καὶ ἐκ τῶν ἀμόρφων τὰ διάφορα ἐν τοῖς καϑ' ἕκαστον εἴδη μορφοῦσα[108]), καὶ οἷα οἰκονόμος ἀγαϑός, εἰωϑυῖα ἀπονέμειν τὸ προσῆκον ἑκάστῳ μέρει[109]). Ὡς δ' ἐν παντὶ τὸ πρῶτον καὶ τὸ δεύτερον γίγνεται, οὕτω καὶ ἐν τῇ γενέσει, τὸ ϑρεπτικὸν καὶ τὸ αὐξητικόν· καὶ ϑρεπτικόν μὲν ἐστὶν ἡ με-

---

105) π. ἀναπν. ιη'. 479 α. 29 «Γένεσις μὲν οὖν ἐστιν ἡ πρώτη μέϑεξις ἐν τῷ ϑερμῷ τῆς ϑρεπτικῆς ψυχῆς, ζωὴ δ' ἡ μονὴ ταύτης. Νεότης δ' ἐστὶν ἡ τοῦ πρώτου καταψυκτικοῦ μορίου αὔξησις, γῆρας δ' ἡ τούτου φϑίσις, ἀκμὴ δὲ τὸ τούτων μέσον, τελευτὴ δὲ καὶ φϑορά, βίαιος μὲν ἡ τοῦ ϑερμοῦ σβέσις καὶ μάρανσις . . . . ἡ δὲ κατὰ φύσιν, τοῦ αὐτοῦ τούτου μάρανσις διὰ χρόνου μῆκος γενομένη καὶ τελειότητα» ὅρ. καὶ προβλ. Λ'. 953 β. 22 καὶ ιδ'. 956 β. 39—957 β. 5 καὶ 20. π. αἰσϑ. καὶ αἰσϑ. δ'. 449 β. 26 ε'. 445 α. 18 καὶ 30.

106) Β'. δ'. 738 β. 26.

107) Αὐτόϑ. 740 β. 25. Κατωτέρω δ' ἐν τῷ ε'. κεφ. διακρίνει τὸ ζῶον τοῦ φυτοῦ αἰσϑήσει, καὶ πρώτη ἡ ϑρεπτικὴ ἀρχὴ ἀνακηρύττεται ἣν ἐσχάτην ἐνταῦϑα καλεῖ κατ' ἀντίστροφον λόγον· καὶ ἡ ἀνάγκη τοῦ ἄρρενος, «ποιεῖ δὲ διστάζειν ἐν τῷ γένει τῷ τῶν ἰχϑύων» φησίν, «τῶν γὰρ καλουμένων ἐρυϑρίνων ἄρρην μὲν οὐδείς ὦπταί πω», οὕτω καὶ τοῖς ἐγχέλεσι καὶ γένει τινι τῶν κεστρέων. 741 α. 34—β. 2.

108) «Ἐνυπαρχόντων δ' ἐν τῇ ὕλῃ δυνάμει τῶν μορίων, ὅταν ἀρχὴ γένηται κινήσεως ἐν τοῖς αὐτομάτοις ϑαύμασι συνείρεται τὸ ἐφεξῆς» π. ζω. γεν. Β'. ε'. 741 β. 8. Ὡς οὖν ἐν τοῖς αὐτομάτοις ϑαύμασι καϑορᾶται ἐνέργειά τις, καὶ ἄλλη μετ' ἄλλην, τὴν δ' ἀρχὴν ἐν τῇ κινήσει ἔχει, οὕτω καὶ ἐν τοῖς φύσει γιγνομένοις ἀρχὴ πρώτη ἡ φύσις, καὶ ταύτης ἡ κίνησις ἡ πρώτη.

109) Αὐτόϑ. στ'. 744 β. 16.

ταβάλλουσα ὕλη εἰς τὴν ὅλην μορφὴν καὶ τὰ μόρια, αὐξητικὸν δὲ ἡ ἐπίδοσις εἰς μέγεθος, οὐ μέντοι καὶ τοῦ εἴδους μεταβολή[110]. Ἡ ψυχικὴ οὖν ἀρχὴ ἡ τὸ ζῆν ζώοις τε καὶ φυτοῖς παρέχουσά ἐστι τὸ θρεπτικόν[111] τρόπον τινὰ ταὐτὸν ὂν καὶ ἀχώριστον τοῦ αὐξητικοῦ, πρότερον δὲ καὶ οὐσία, τὸ δ' αὐξητικὸν κατηγορούμενον ταύτης[112], ὄργανον δὲ δι' οὗ ἀποτελεῖται ἡ οὐσία, τὸ θερμὸν τὸ ἐν τῇ φύσει[113], τοῦτο δ' αὖ οὔτε λίαν κρατοῦν, οὔτ' ἐλλεῖπον, ἀλλὰ τὸν τοῦ μέσου λόγον ἔχον[114].

§ 11. Καὶ ταῦτα μὲν φυσικοῦ ὁδὸν ὁ Ἀριστοτέλης βαδίζων ἐξηρεύνηκε, καὶ τὴν φύσιν ὡς πρωτίστην ἀρχὴν τῶν ὄντων τέθεικε· πάντα γὰρ ἐκ κινήσεως, πρῶτον δὲ κινοῦν ἡ φύσις, καὶ οὗ ἕνεκα καὶ τὸ τέλος παντὶ φυσικῷ ὄντι, ταὐτὸ δὲ καὶ ἡ ψυχὴ ἡ δημιουργικὴ ἐκείνη τῆς φύσεως καὶ ἐνδελεχὴς ἐνέργεια· ὄργανα δὲ οἷς ἡ φύσις χρῆται τό τε θερμὸν καὶ τό ψυχρόν, ἐξ ὧν μέσοντι παρασκευάζεται καὶ ἐν ὑγρῷ, ὅ μάλιστα ζωτικὸν τυγχάνει ὄν· ὕλη δὲ ἡ ἠλλοιωμένη, καὶ κατὰ λόγον ὑπ' αὐτῆς αὖ

110) Αὐτ. 744 β. 33 «Θρεπτικὸν μὲν ὅ τὸ εἶναι παρέχεται τῷ τε ὅλῳ καὶ τοῖς μορίοις, αὐξητικὸν δὲ τὸ εἰς μέγεθος ποιοῦν τὴν ἐπίδοσιν», Μετ. Η. α΄. 1042 α. 35 «καὶ κατ' αὔξησιν, ὃ νῦν μὲν τηλικόνδε, πάλιν δ' ἔλαττον ἢ μεῖζον». καὶ Λ. α΄. 1069 β. 11. Ν. α΄. 1088 α. 31, ἐξ ὧν καταφαίνεται ὅτι ἀχώριστον ἡ αὔξησις τῆς γενέσεως, πρότερον μέντοι ἡ γένεσις καὶ ὑποκείμενον, ἡ δ' αὔξησις περὶ τὸ ποσὸν καὶ κατὰ τοῦ ὑποκειμένου τῆς οὐσίας. ὅρ. π. ζω. γεν. Γ΄. β΄. 753 β. 25.

111) π. ζω. γεν. Γ΄. ια΄. 762 α. 25. ζ΄. 757 β. 15 κ. ε. β΄. 753 β. 28, α΄. 751 β. 4, ἔνθα καὶ τοῦ περιττώματος δύο τὸ τε ὠχρὸν καὶ τὸ λευκόν, ὅ καὶ μᾶλλον καθαρὸν τοῦ ὠχροῦ. λευκὸν δὲ δοκεῖ τὸ διαφανές τὸν Ἀριστ. καλεῖν· τὸ γὰρ τοῦ γάλακτος χρῶμα ὠχρὸν καλεῖ ὅρ. καὶ 752 α. 1 κ. 2.

112) π. ζω. γεν. Δ΄. α΄. 766 α. 10 πρβλ. καὶ Β΄. δ΄. 741 β. 29 καὶ Δ΄. γ΄. 767 β. 15 κ. ε. ὅτι δ' οὐ ταὐτὸν τροφὴ καὶ αὔξησις δῆλον ἐκ τοῦ ὅτι ἀεὶ μὲν τὰ ζῶα τρέφεται, αὔξεται δ' οὐκ ἀεί. Διὸ οὐκ ἐξ ἀνάγκης καὶ ἀεὶ τῇ τροφῇ παρομαρτοῦσα ἡ αὔξησις. Τοπ. Β΄. δ΄. 111 β. 25 ὅρ. καὶ π. γεν. κ. φθ. Α΄. ε΄. ᾗ διάφορον δείκνυται τὸ αὐξητικὸν καὶ ὕστερον, πρότερον δὲ ἡ γένεσις. πρότερον γὰρ δυνάμει ἐστὶν ἡ ἄμορφος ὕλη, ἐπελθόντος δὲ τοῦ εἴδους γίγνεται τόδε τι, ὅτε ἡ γένεσις, εἶτα δὲ καὶ τρόπον τινὰ ἅμα ἡ αὔξησις· «καὶ ἡ τροφὴ τῇ αὐξήσει ταὐτὸ μέν, τὸ δ' εἶναι ἄλλο· ᾗ μὲν γάρ ἐστι τὸ προσιὸν δυνάμει ποσὴ σάρξ, ταύτῃ μὲν αὐξητικὸν σαρκός, ᾗ δέ μόνον δυνάμει σάρξ, τροφή· τοῦτο δὲ τὸ εἶδος ἄνευ ὕλης, οἷον ἄϋλος δύναμίς τις ἐν ὕλῃ ἐστίν (322 α. 25).

113) Σημειωτέον ὅτι τὸ φυσικὸν θερμὸν τὰ μάλιστα συμβάλλεται εἰς τὴν τῶν ὄντων ἐπίδοσιν, εἴπερ καὶ ἡ σελήνη αὐτὴ καθάπερ ἄλλος ἥλιος ἐλάττων (π. ζω. γεν. Δ΄. ι΄. 777 β· 25) τοῦτο δὲ τοῖς πολλοῖς ἡμῶν γνωστὸν ἰδίᾳ ἐκ τῶν θαλασσίων ὀστρέων καὶ μαλακίων· μᾶλλον γὰρ πίονα κατὰ τὴν πανσέληνον τυγχάνει ὄντα· ταῦτα δὲ καὶ ἐν τῇ τοῦ μεγ. Βασιλείου ἑξαημέρῳ πεπραγμάτευται· δοκεῖ δ' ἡμῖν μᾶλλον τὸ φῶς εἰς τοῦτο συμβάλλεσθαι.

114) π. ζω. γεν. Δ΄. β΄. 767 α. 17 «τὸ δὲ θερμὸν λίαν μὲν κρατοῦν ξηραίνει τὰ ὑγρά, πολὺ δ' ἐλλεῖπον οὐ συνίστησιν, ἀλλὰ δεῖ πρὸς τὸ δημιουργούμενον ἔχειν τὸν τοῦ μέσου λόγον».

τῆς φύσεως μεταβάλλουσα τὰ ἔν τε τῷ ἄρρενι καὶ τῷ θήλει παρασκευασθέντα χρήσιμα περιττώματα. Ὥστε πρώτη μὲν ἀρχὴ ἡ φύσις, δεύτερον δὲ τὸ τὸν μέσον λόγον ἔχον θερμόν, τρίτον δ' ἡ ὕλη, καὶ τέταρτον τὸ ἄρρεν καὶ θῆλυ. Ἐπεὶ δ' οὐκ ἐπ' ἄπειρον ἐν τῷ ἄρρενι καὶ θήλει ζητεῖν δεῖ, ἀλλ' ἀνάγκη στῆναι ἐν τῷδε, καὶ ἐκ τῆς ἐμπειρίας ὅτι ζῶα γίγνεται ἐκ τῶν περιττωμάτων καὶ σεσηπότων ὑλῶν, ἅπερ τὴν ἐνδελεχῆ ἐν τῇ φύσει δημιουργικὴν δύναμιν μαρτυρεῖ, ποιεῖται τὴν ὑπόληψιν, καὶ τοὺς ἀνθρώπους τοῦτον τὸν τρόπον ποτὲ γενέσθαι[115]. Φύσει οὖν καθάπερ ἀγαθὸς οἰκονόμος ἡ ζωτικὴ ἀρχὴ ἐν τῷ μέσῳ ἐγκαθίδρυται ἀποδιδοῦσα τὸ προσῆκον ἑκάστῳ μέλει τοῦ ὅλου ὀργανισμοῦ[116]. Οὐ μὴν τούτοις ὁ φυσικὸς Ἀριστοτέλης ἀρκεῖται, ἀλλὰ περαιτέρω χωρεῖ καὶ τὸ πρῶτον γιγνόμενον ὑπὸ τῆς θρεπτικῆς δυνάμεως τὴν καρδίαν εὑρίσκει καὶ ταύτην ἀρχὴν παντὸς τοῦ ὀργανισμοῦ τίθησιν ἐν τοῖς ἔχουσι τοιαύτην, ἐν δὲ τοῖς μὴ ἔχουσι τὸ ἀνάλογον[117]. Ἀλλ' ἐπεὶ καὶ πέψεως ἀνάγκη αὕτη δ' ἐκ τοῦ ἥπατος, ἀμφότερα ὑπάρχειν ἀνάγκη, πρότερον μέντοι ἡ καρδία, ἐν ᾗ δυνάμει τὸ ἧπαρ[118], ἐν τῷ μέσῳ ἱδρυμένη[119], καὶ ἐντελεχείᾳ οὖσα. «Λόγος δὲ τούτου, ὅτι ὑπὸ τοῦ ἐντελεχείᾳ ὄντος τὸ δυνάμει ὂν γίγνεται ἐν τοῖς φύσει ἢ τέχνῃ γιγνομένοις, ὥστε δέοι ἂν τὸ εἶδος καὶ τὴν μορφὴν ἐν ἐκείνῳ εἶναι, οἷον ἐν τῇ καρδίᾳ τὸ τοῦ ἥπατος»[120]. Ἀρχὴ οὖν πρώτη, ἐν ᾗ δυνάμει πάντα τὰ λοιπά ἐστι καὶ κατὰ μικρὸν ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ μεταβάλλουσιν, ἡ καρδία, ἢ τὸ ἀνάλογον ἐν τοῖς μὴ ἔχουσι καρδίαν ζώοις, ἧς ἔργον τὸ μεταβιβάζειν τὸ πεπεμμένον καὶ δημιουργεῖν τὰ διάφορα μέλη. Ἐπεὶ δὲ κοινὸς καὶ ἐπὶ φυτῶν καὶ ζώων λόγος ζητεῖται, ἐν τούτοις δ' αὖ ἡ πέψις ἀπεργάζεται τὸ φυτόν, καὶ αὕτη πρότερον ὕλῃ καὶ θερμῷ ἀπεργαζομένη, ἐν ἀμφοτέροις δὲ τοῖς γένεσιν ἡ θρεπτικὴ ἀρχὴ ἡ πρώτη, καὶ ἐν μὲν τοῖς φυτοῖς μόνον αὕτη[121], ἐν δὲ τοῖς ζώοις τό τε πρῶτον

115) π. ζω. γεν. Γ΄. ια΄. 762 β. 28 κ. ε.

116) π. ζω. γεν. Β΄. στ΄. 744 β. 16 κ. ε. ἀπὸ δὲ τοῦ 21 στίχου διέφθαρται, ὡς δοκεῖ, τὸ χωρίον, «καθάπερ οὖν τὴν αὔξησιν ὁ θύραθεν ταῦτα ποιεῖ νοῦς»· ἔδει γὰρ ἀντὶ τοῦ αὔξησιν, οἶκον ἢ οἰκονομίαν εἶναι, ἢ τροφήν, καὶ ἦν ἂν ὧδε. Καθάπερ οὖν εἰς τὴν οἰκονομίαν (ἢ τροφήν· ταύτῃ γὰρ ὁ Ἀριστ. ἐν τοῖς οἰκονομικοῖς χρῆται Α΄. κεφ. ε΄. . . .), ὁ τοῦ οἰκονόμου νοῦς, ὁ χωριστὸς τοῦ οἴκου καὶ θύραθεν τὰ διάφορα τοῦ οἴκου μέλη, οἷον ἐλευθέρους καὶ δούλους καὶ ζῶα τρέφει κατ' ἀξίαν ἀπονέμων ἑκάστῳ, οὕτως ἐν τοῖς γινομένοις αὐτοῖς (ἐν αὐτοῖς φησι καὶ οὐ θύραθεν καὶ ἔμφυτόν τι ἀπ' ἀρχῆς νοεῖ) ἡ φύσις ἐκ μὲν τῆς καθαρωτάτης ὕλης, σάρκας καὶ τῶν ἄλλων αἰσθητηρίων τὰ σώματα συνίστησιν, ἐκ δὲ τῶν περιττωμάτων ὀστᾶ καὶ νεῦρα καὶ τρίχας, ἔτι δ' ὄνυχας καὶ ὁπλάς, καὶ πάντα τὰ τοιαῦτα».

117) π. ζω. μορ. Γ΄. δ΄.

118) Αὐτόθι ζ΄. 670 α, 23. «τῆς φύσεως τὸ ζωπυροῦν . . . ὥσπερ ἀκρόπολις οὖσα (ἡ καρδία) τοῦ σώματος». π. ζω. γεν. Β΄. α΄. 734 α. 23 δ΄. 738 β. 16. 740 α. 3. ε΄. 741 β. 15. στ΄. 743 β. 25. Γ΄. ια΄. 762 β. 25. Δ΄. η΄. 776 β. 12. Ε΄. β΄. 781 α. 22.

119) π. ζω. κιν. Θ. 702 β, 15. — 120) π. ζω. γεν. Β΄. α΄. 734 α. 29.

121) Ὅτι πολλὰ ἐν τῷ μεθορίῳ ἵσταται τὰ καλούμενα παρ' ἡμῖν ζωόφυτα, οὐ διέφυγε τὸν Ἀριστ.

αὐτὸ τρέφεται καὶ τρέφει τὰ λοιπὰ μέλη καὶ τὰ αἰσθητήρια ὄργανα καὶ κατὰ τὴν περίοδον ταύτην φυτοῦ βίον ἄγει, ἀνάγκη τὸ θρεπτικὸν πρῶτον εἶναι. Ἐπεὶ δέ τὸ θρεπτικὸν ἐνεργείᾳ ἐστὶ καὶ τελείαν ἐνέργειαν ἐργάζεται (ἡ γὰρ ἀτελὴς ἐνέργεια δέδεικται ἡ πρώτη γένεσις οὖσα, ἡ ἀλλοίωσις δῆλον ὅτι τῆς τροφῆς εἰς χρήσιμον ὕλην, ἐξ ἧς τόδε τι μορφὴν ἔχον), ἀνάγκη πρώτην ἐντελέχειαν τὴν πρώτην τῆς ψυχῆς ἐνεργείᾳ οὖσαν δύναμιν εἶναι· τόπος δὲ τοῖς μὲν φυτοῖς, καθὸ ἀτελεστέροις, οὐδεὶς τῇ δυνάμει ταύτῃ ὥρισται, τοῖς δὲ ζώοις ἡ καρδία καθάπερ λέβης τις ἀτμομηχανῆς, τοῖς καθ᾽ ἕκαστον ζωὴν καὶ κίνησιν ἀπονέμουσα [122]).

§ 12. Ἀνακεφαλαιοῦντες οὖν τὰ εἰρημένα ἕξομεν· θερμὸν φυσικὸν ἐν τοῖς οὖσιν ἔμφυτον, σύμφυτον δὲ πνεῦμα, καὶ ὕλην ἀσχημάτιστον, ἄμορφον, ἀκατέργαστον, κινήσεις δ᾽ ἐν τῷ παντὶ ἐκ τῆς πρώτης κινούσης ἐν τῇ φύσει ἀρχῆς, ἧς πρώτη κίνησις ἡ φορά, τέλος δὲ δύναμιν ἐν τούτοις συνεφέλκουσαν καὶ συνιστᾶσαν τὴν παρεσκευασμένην ὕλην ἐνδελεχῶς, καὶ αὔξουσαν, πρώτην καὶ πασῶν προϋπάρχουσαν τῶν ἐφεξῆς δυνάμεων καὶ πᾶσι τοῖς ὑπὸ τὸ ἀνώτατον γένος ὀργανικοῖς οὖσιν ὑποκειμένην, ἧς ἔργον πρῶτον μὲν ἡ διὰ τοῦ θερμοῦ πέψις καὶ ἀλλοίωσις εἰς τὸ δυνάμει τόδε ἢ τόδε σῶμα ἢ μέλος. Τῶν δὲ ὀργανικῶν, τοῖς μὲν ζώοις ἡ καρδία ἀρχὴ τῶν ἐφεξῆς καὶ πρῶτον γινόμενον, ἢ τὸ ἀνάλογον, τοῖς δὲ φυτοῖς ὁ ὄζος ἢ ὁ τοῦ σπέρματος πυρήν, ἀρχαὶ οὖσαι καὶ δυνάμει τὰ ἐφεξῆς ἐμπεριέχουσαι [123]). Καὶ ταῦτα μὲν τὰ τῇ φυσικῇ φιλοσοφίᾳ διωρισμένα [124]), λείπεται δὲ καὶ τὸν πρῶτον φιλόσοφον διο-

122) Σημειωτέον ὅτι ὁ Ἀριστ. πήρωσίν τινα εἶναι τὸ θῆλυ φησί, τὴν δ᾽ αἰτίαν τοῦ γίγνεσθαι θήλεα τά ζῶα, τὴν ἀδυναμίαν τῆς πέψεως τίθησιν «ὅταν γὰρ μὴ κρατῇ ἡ ἀρχὴ μηδὲ δύνηται πέψαι δι᾽ ἔνδειαν θερμότητος, μηδ᾽ ἀγάγῃ εἰς τὸ ἴδιον εἶδος τὸ αὐτοῦ (τοῦτο κάλλιον δοκεῖ ἡμῖν, τοῦ, αὐτοῦ· αὐτοῦ γὰρ τοῦ ἄρρενος νοεῖται, τῆς ἀρχῆς τῆς ζωῆς), ἀλλὰ ταύτῃ ἡττηθῇ, ἀνάγκη εἰς τοὐναντίον μεταβάλλειν· ἐναντίον δὲ τῷ ἄρρενι τὸ θῆλυ . . . .» π. ζω. γεν. Δ'. α'. 766 α. 16. Μετ. I. θ'. 1058 α. 29 κ. ε. ἔνθα ζητεῖται διατὶ τὸ ἄρρεν καὶ θῆλυ οὐ διαφέρουσιν εἴδει ἀλλ᾽ ἓν κατὰ τὴν οὐσίαν, τὸ αὐτὸ δὲ σπέρμα «θῆλυ ἢ ἄρρεν γίνεται παθόν τι πάθος» (1058 β. 23).

123) Ἰστέον ὅτι δευτέραν κυριωτάτην τῆς ζωῆς ἀρχὴν τὸν ἐγκέφαλον ὁ Ἀριστ. τίθησιν (π. ζω. μορ. Γ'. ια'. 673 β. 11. «ταῦτα δὲ [ἐγκέφαλος καὶ καρδία] κύρια μάλιστα τῆς ζωῆς.»), ὑγρὰν φύσιν καὶ ψυχρὰν ἔχοντα, καὶ πρὸς τὸ ποιεῖν εὔκρατον τὴν ἐν τῇ καρδίᾳ θερμότητα καὶ ζέσιν ὑπὸ τῆς φύσεως μεμηχανημένα (π. ζω. μορ. Β'. ζ'. 652 β. 16 κ. ε. π. αἰσθ. κ. αἰσθ. ε'. 444 α. 10 καὶ 30)· πρὸς τούτῳ δὲ τὰς ῥαφὰς γεγενῆσθαί φησι, καὶ πλείους εἶναι ἐν τῇ τοῦ ἄρρενος κεφαλῇ ἢ τοῦ θήλεος, διὰ τὸ τὸν τόπον εὔπνουν εἶναι (αὐτόθι)· καὶ ὅτι οὐκ εὐαισθησίας ἕνεκεν πέπλασται ἀλλ᾽ εὐκρασίας· ἀναίσθητος γὰρ ἐγγιζόμενος τυγχάνει ὢν . . . (κεφ᾽ ι'.). Ἀρχὴ δὲ τῶν αἰσθήσεων καὶ πάσης ζωῆς καὶ κινήσεως ὁ περὶ τὴν καρδίαν τόπος (Γ'. δ'.).

124) Ὑπὸ τὴν φυσικὴν ἢ φυσικὴν φιλοσοφίαν πάσας τὰς καλουμένας νῦν ψυσιολογίαν, ἀνατομίαν, φυσικήν, βοτανικήν, ζωολογίαν ὀρυκτολογίαν καὶ τὰ ἐχόμενα τούτοις ὑπάγει, ὡς ἔκ τε τοῦ π. ζω. μορ. Β'. ζ'. 653 α. 9. και Μετ. Γ'. γ'. καὶ ἄλλ. δῆλον, τοὺς δ᾽ οὕτω ζητοῦντας φυσιολόγους καλεῖ, οἵ (Μετ. Α. η'. 990 α. 3. ε'. 986 β. 14, 989 β. 30. θ'. 992 β. 4. Κ. στ'. 1062 β.

ρίσαι, εἴπερ κάλλιον ἂν ὅ τε φυσικὸς καὶ ὁ πρῶτος φιλοσοφος ὁρίζοντες τυγχάνωσιν [125]), καὶ εἴπερ ἐν τοῖς ὅροις τὸ πρῶτον κινοῦν καὶ τὸ οὗ ἕνεκα ἐνυπάρχειν δεῖ [126]).

Ὡς πρῶτος οὖν φιλόσοφος ἐκ τῆς τῶν κατὰ μέρος ἐμπειρίας ἀναχωρῶν, καὶ τὴ ἀρχὴν καὶ πρωτίστην αἰτίαν ζητῶν, καὶ οὔτε ἐν τῇ ὕλῃ, οὔτε ἐν τῇ κινήσει, οὔτ᾽ ἐν τῇ τοῦ θερμοῦ καὶ ψυχροῦ ἐναντιότητι εὑρίσκων αὐτήν· ἐν πᾶσι γὰρ τούτοις ἀτέλεια, ἐν δὲ τοῖς οὖσι τέλος τι πρόκειται, καὶ πάντα μὲν ὁμοῦ εἰς ἕν τι βέλτιστον τέλος χωρεῖν, πᾶν δὲ μόριον ἐν τοῖς καθ᾽ ἕκαστον τοῦ ὅλου τοῦδε χάριν γιγνόμενον καθορῶν, τὴν πρώτην αἰτίαν ἐν τῇ τελειότητι ἐνορᾷ, πρὸς ἣν πᾶν ὂν βαδίζειν πέφυκεν. Ἐπεὶ δὲ τὸ τέλειον νῷ μόνον ἀπεργάζεται, νοῦν τὴν πρώτην ἀρχὴν τέθεικε καὶ ἐνεργείᾳ ὄντα [127]) καὶ πρὸς τέλος τι πρῶτον κινήσαντα καὶ εἶδος ὡρισμένον τοῖς ὡς ἐπὶ τὸ πολὺ ἢ ἀεὶ γιγνομένοις ἐν τῇ φύσει ἐντεθεικότα. Οὕτως οὖν οὐ μόνον φυσιολόγος ὁ Ἀριστοτέλης καὶ τὰ τῆς φύσεως προϊόντα ἀναδιφῶν, καὶ οὐ κινήσει, ἢ πυρί, ἢ ὕδατι, ἤ τισι τούτων ἢ και πᾶσι τὸ εἶδος ἀποδιδούς, ἀλλὰ πᾶν εἶδος καὶ ἄτομον, καὶ μόριον κατὰ λόγον γιγνόμενον διορῶν, τῷ τῷ ὡς πρῶτον κινοῦντι καὶ κυριωτάτῃ ἀρχῇ τὴν τῶν γιγνομένων αἰτίαν ἀναγκάζεται ἀποδοῦναι, καθάπερ φυσιολόγος τε ἅμα, καὶ πρῶτος φιλόσοφος [128]). Ἐπεὶ δὲ ἡ κυρίως καὶ καθ᾽ αὑτὸ οὐσία τὸ εἶδος, καὶ πρότερον καὶ οὗ ἕνεκα τἆλλα, καὶ τέλος παντὸς ὄντος [129]), πᾶν δ᾽ ὂν φέρει καὶ εἶδος τι, τὸ εἶδος πρῶτον ζητητέον. Ἐπεὶ δ᾽ αὖ ἐν τῇ φύσει τόδε μετὰ τόδε εἴωθε γίγνεσθαι, ἀνάγκη τὸ πρῶτον γιγνόμενον λαβεῖν πρὸς τὸ ἀσφαλῶς περαιτέρω πορεύεσθαι. Εἰ οὖν πρῶτον καὶ κοινὸν πᾶσι τοῖς ὀργανικοῖς ἡ τὰ διάφορα μέρη μορφοῦσα ἐκείνη δύναμις, τὸ θρεπτικόν, κενολογεῖν

21) «ἀμυδρῶς μέντοι καὶ οὐδὲν σαφῶς, ἀλλ᾽ οἷον ἐν ταῖς μάχαις οἱ ἀγύμναστοι ποιοῦσιν» (Μετ. Α'. δ'. 985 α. 13), οὕτως ἐφυσιολόγησαν· «καὶ γὰρ ἐκεῖνοι περιφερόμενοι τύπτουσι πολλάκις καλὰς πληγάς, ἀλλ᾽ οὔτε ἐκεῖνοι ἀπὸ ἐπιστήμης, οὔτε οὗτοι ἐοίκασιν εἰδόσι λέγειν ὅ, τι λέγουσιν» (αὐτόθι ἐφεξῆς)· π. αἰσθ. κ. αἰσθ. δ'. 441 β, 2 καὶ β'. 438 β. 27 ἔνθα τὸ ὄμμα ἀπὸ τοῦ ἐγκεπάλου συνεστηκὸς τέθειται. Ἰστέον πλὴν ὅτι ἐν τῇ Μεταφυσικῇ οὐκ οἶδ᾽ ὅπως, οὐδετέρῳ τό πρότερον ἀποδίδωσιν, ἀλλ᾽ ἀμφιγνοεῖ τρόπον τινά· φησί γαρ· «ὅσα κύρια, καὶ ἐν ᾧ πρώτῳ ὁ λόγος καὶ ἡ οὐσία, οἷον εἰ τοῦτο καρδία ἢ ἐγκέφαλος· διαφέρει γάρ οὐδὲν πότερον τούτων». Μετ. Ζ. ι'. 1035 β. 25 καὶ Δ. β'. 1013 α. 4 καὶ Η. δ'. 1044 β. 17.

125) π. ψυχ. Α'. α'. § 11 «πότερον ὁ περὶ τὴν ὕλην τὸν δὲ λόγον ἀγνοῶν ἢ ὁ περὶ τὸν λόγον μόνον; ἢ μᾶλλον ὁ ἐξ ἀμφοῖν, ... ἢ δὲ κεχωρισμένα ὁ πρῶτος φιλόσοφος.

126) «Ὥστε οἱ ὅροι τοιοῦτοι, οἷον τὸ ὀργίζεσθαι κίνησίς τις τοῦ τοιουδί σώματος ἢ μέρους ἢ δυνάμεως ὑπὸ τοῦδε, ἕνεκα τοῦδε» (Αὐτόθ.).

127) «Ἀεὶ γὰρ ἐκ τοῦ δυνάμει ὄντος γίγνεται τὸ ἐνεργείᾳ ὄν, ὑπὸ ἐνεργείᾳ ὄντος, οἷον ἄνθρωπος ἐξ ἀνθρώπου, μουσικὸς ὑπὸ μουσικοῦ, ἀεὶ κινοῦντός τινος πρώτου». Μετ. Θ. η. 1049 β. 24, διὰ πολλῶν δ᾽ ἐν τῷ Λ. ζ'.

128) Πῶς νοῦν ὁ Ἀριστ. τὴν πρώτην ἀρχὴν τίθησι, καὶ πῶς ἓν ὁ νοῦς, πῶς δ᾽ ἐξ ἑνὸς τὰ πολλά, τῆς Μεταφυσικῆς ἡ ζήτησις αὕτη, ἐροῦμεν δὲ καὶ ἡμεῖς ὅταν τὰ περὶ νοῦ πραγματευσώμεθα.

129) Ὅρ. τὰ περὶ εἴδους ἐκτεθειμένα.

ἂν ἦν ἄλλο τι πρῶτον λαβεῖν, καὶ ἐν ἑνὶ ἀτόμῳ εἴδει, ἤ τισι μόνον. Εἰ δ' ἐν αὐτοῖς τοῖς ὀργανικοῖς πᾶν κατὰ λόγον γίγνεται (πάντα γὰρ ἐκ τοῦ νοῦ, καὶ ἐμπειρία πᾶσα νοῦν ἀναγγέλλει), καὶ τὸ πρῶτον γιγνόμενον λόγον ἕξει καὶ πρώτη ἐντελέχεια εἰκότως ἂν κληθείη [130]), εἴπερ πάντα τὰ γιγνόμενα οὐσίαι [131]), οὐσίας δὲ ὕλη καὶ εἶδος, πρότερον δὲ τὸ εἶδος, καὶ οὗ ἕνεκα, καὶ μάλιστα, καὶ κυρίως το εἶδος οὐσία [132]), καὶ πᾶσα γένεσις τῆς οὐσίας ἕνεκα [133]).

§ 13. Ἀλλὰ τῶν φυσικῶν σωμάτων τὰ μὲν ζωήν ἔχει, τὰ δ' οὔ, οἷον τὰ ζῶα καὶ τὰ φυτά· τὰ ζῶα δ' αὖ διὰ τὴν αἴσθησιν πρώτως, ἡ δ' αἴσθησις τῶν αἰσθητηρίων ἔργον. Ἀλλ' ἐν τῷ πρῶτον γιγνομένῳ οὔπω τὰ αἰσθητήρια, κατὰ μικρὸν δὲ ὑπὸ τῆς θρεπτικῆς δυνάμεως παρασκευάζονται, παρασκευασθέντα δὲ οὔπω ἐνεργεῖ, ἀνάγκη δὲ πρῶτον παντάπασιν ἀποτελειοῦσθαι καὶ παύεσθαι τὴν σφοδρὰν τοῦ θρεπτικοῦ ἐνέργειαν· μετὰ τὴν γέννησιν δὲ κατὰ μικρὸν θεωρεῖται τὰς αἰσθήσεις ἐξεγείρεσθαι, ἐν τῷ προτέρῳ δὲ χρόνῳ οἱονεὶ ὑπνώττουσαι τυγχάνουσι, καὶ τούτων αὐτὴ ἡ ἁφή, ἡ πρώτη καὶ ὑποκειμένη τρόπον τινὰ ταῖς ἄλλαις αἰσθήσεσιν· ὥστε ἔσται μὲν ἀλλὰ δυνάμει ἔσται καὶ οὐκ ἐνεργείᾳ κατὰ τὴν πρώτην περίοδον ἡ αἴσθησις. Εἰ οὖν τὸ αἰσθάνεσθαι δυνάμει, καὶ τὸ ζῶον δυνάμει ζωὴν ἕξει, εἴπερ ἡ ζωὴ διὰ τὰς αἰσθήσεις καὶ πρῶτον διὰ τὴν ἁφὴν τοῖς ζώοις ὑπάρχει, οὐδ' αὕτη δ' ἐνεργοῦσα ἀλλ' οἷον ὑπνώττουσα. Οὕτως οὖν ἐν τοῖς ζώοις ἔσται τὸ πρῶτον γιγνόμενον ἐντελέχεια καὶ εἶδός τι φέρον, ἀλλὰ δυνάμει ἔσται ζῶον· οὔπω γὰρ ἡ πρώτη καὶ μεγίστη διαφορὰ τοῦ ζώου, τὸ αἰσθάνεσθαι δῆλον ὅτι· ὅταν δ' ἡ ἐγρήγορσις ἐπέλθῃ, τότ' ἐνεργείᾳ ἐστὶ ζῶον καὶ τελείως ἔχον· καὶ πρότερον δὲ τέλος ἔχον τυγχάνει, ἀλλ' οὐ παντελῶς τέλειον, καὶ εἶδος δέ, ἀλλὰ τρόπον τινὰ ὑπνῶττον, καὶ ἕξις τις, μὴ ἐνεργοῦν δὲ καὶ ἀνάλογον τῷ ὕπνῳ καὶ τῇ ἐπιστήμῃ· ὅταν δὲ πάντη πάντως ἀποτελεσθῇ, ἀνάλογον τῇ ἐγρηγόρσει καὶ τῷ θεωρεῖν [134]). Ἀλλ' ἡ ἐντελέχεια αὕτη ἔσται ἐν τοῖς ὀργανικοῖς σώμασι, τὰ δ' ὄργανα μέρη τοῦ εἴδους, ὄργανα δ' ἔχει καὶ τὰ φυτά, «ἀλλὰ παντελῶς ἁπλᾶ, οἷον τὸ φύλλον περικαρπίου σκέπασμα, τὸ δὲ περικάρπιον καρποῦ, αἱ δὲ ῥίζαι τῷ στόματι ἀνάλογον· ἄμφω γὰρ ἕλκει τὴν τροφήν» [135]). Ὅμως καὶ ταῦτα τρέφεται, οὐδὲν δὲ διαφέρει εἰ παντελῶς ἁπλᾶ· ζητεῖται δὲ κοινός τις λόγος ἐπὶ πάσης ψυχῆς· «εἰ δή τι κοινὸν ἐπὶ πάσης ψυχῆς δεῖ λέγειν, εἴη ἂν ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ» [136]).

130) Ὅρ. Σημείωσιν 112.

131) π. ψυχ. Β'. α'. § 3.

132) Ὅρ. ἀνωτέρω ἐν τῷ περὶ οὐσίας, καὶ Μετ. Ζ. η'. κεφ. ἢ διαιρετά φησι τὰ ὄντα εἰς τόδε καὶ τόδε, ὕλην καὶ εἶδος δῆλον ὅτι, καὶ ἅμα τρόπον τινά, πρότερον μὴν τὸ εἶδος καὶ ἐξ ἐνεργείᾳ ὄντος, καὶ Φυσ. Ζ'. δ'. καὶ ε'.

133) Ὅτι γένεσις κυρίως ἐκ δυνάμει οὐσίας εἰς ἐντελεχείᾳ οὐσίαν λέγεται, ἱκανῶς ἀνωτέρω δέδεικται, ἅμα δ' ὅτι ἁπλῆ γένεσις ἐξ οὐκ ὄντος, ἁπλῶς οὐκ ἔστι, εἰ δ' εἰπεῖν τί ἐστιν, ἡ ἐκ στοιχείων εἰς μίγμα τι καὶ προπαρασκευὴ πρὸς οὐσίαν ἔσται, ἣν καὶ πρώτην ἄν τις γένεσιν καλοῖ, ὅλως δ' οὐδὲ πρώτην, ἡ γὰρ γένεσις μετὰ οὐσίας.

134) π. ψυχ. Β'. α'. § 5 καὶ β'. § 4 καὶ ε'. § 5 ἔνθα ἀκριβέστερον ὥρισται τὸ δυνάμει· πρῶτον μὲν ὡς οὐκ ὂν πεφυκὸς δὲ κτᾶσθαι, δεύτερον δὲ κεκτημένον μέν, οὐ χρώμενον δέ· ὀρθῶς δὲ καὶ ὁ Σιμπλίκιος ἡρμήνευκε, φάς· «διὰ τοῦτο τῇ ψυχῇ προσήκειν τὴν πρώτην ἐντελέχειαν, ὡς μὴ παντελῶς τελείαν», ὁμοίως δὲ καὶ ὁ Ἀλέξανδρος (Τρενδ. π. ψυχ. σελ. 315 ἐν τῇ ὑποσημειώσει· εἰσάγει δὲ τὸν Νεμέσιον ἀντιτιθέντα τῷ Ἀριστοτέλει «πῶς τὸ δυνάμει σῶμα δυνάμει ζωὴν ἔχειν ἐν ἑαυτῷ δύναται»; ἀλλὰ ποῦ ὁ Ἀριστ. δυνάμει σῶμα εἴρηκε; τοὐναντίον, ἐνεργείᾳ σῶμα εἴρηκε, σῶμα δὲ ὀργανικόν, καὶ δὴ ζώου, ὅπερ δυνάμει ζωὴν ἔχει· πρώτως γὰρ διὰ τὴν αἴσθησιν τὸ ζῶον ζῶόν ἐστιν· ἄπορον πῶς ὁ Τρενδελεμβούργ οὐδὲν ἀντιπαρατίθησιν. Ὀρθῶς δὲ καὶ ὁ Τρενδελεμβούργ τὴν ἐπιστήμην οὐχ ὡς θησαυρὸν ἐναποτεταμιευμένον ἐν τῇ μνήμῃ νοεῖ [τίνι δὲ τοιοῦτόν τι ἐπῆλθεν;]), ἀλλ' ὡς εὐφυΐαν πρὸς τὸ εἰδέναι (sciendi facultatem. σελ. 317), ἀλλ' ἀνωτέρω οὐ πάνυ εὐκρινῶς εἴρηκεν· ἀποδίδωσι γὰρ τὴν πρώτην ἐντελέχειαν τῇ μὴ ἀεὶ ἐνεργούσῃ ψυχῇ, ἐχούσῃ δέ· τὴν δὲ δευτέραν οὕτως εἰπεῖν ἐντελέχειαν τῇ ἐχούσῃ τε καὶ ἐνεργούσῃ (altera habet et possidet, altera quae habet utitur. Ita anima etiamsi quiescit, corporis ἐντελέχεια est: ἐντελέχεια sicut scientia, neque enim semper agit, eaque est prima ἐντελέχεια; antecedit enim; praestantior autem illa altera, quae animi status non complectitur. αὐτόθι σελ. 314—15). ἡ γὰρ πρώτη ἐντελέχεια οὐ παύεται ἐνεργοῦσα ἀλλ' ἐνδελεχῶς μέχρι τῆς φθίσεως ἐνεργεῖ, εἰ τὴν μεταβάλλουσαν τροφὴν ἕξει· ὅταν δ' ἀποτελεσθῇ καὶ κατὰ τὴν αἰσθητικὴν δύναμιν, τότε ὁτὲ μὲν ἐνεργεῖ τὸ ζῶον ὁτὲ δ' οὔ, καθάπερ ἐν τῇ ἐγρηγόρσει καὶ τῷ ὕπνῳ, πρὶν ἢ δὲ τέλειον καὶ τὴν αἰσθητικὴν δύναμιν γένηται, οὐδε πώποτε ἐνεργεῖ, ἀλλ' ἀεὶ δυνάμει ἔχει πρὸς τὸ ἐνεργεῖν, οὐ μὴν καὶ πρὸς τὸ εἶναι· ἔστι γὰρ χρόνος ὅτε ἔστι τέλειον τὸ αἰσθητικόν, καὶ δὴ ἡ ἁφή, οὐ μέντοι ἐνεργείᾳ ἀλλ' ὡς ἐν ὕπνῳ, καὶ ἀδρανές οἷον τὰ ἔμβρυα, ἃ καὶ γεννώμενα πολὺν χρόνον ἐν νάρκῃ, διὰ τὸ σφοδρὸν τῆς θρεπτικῆς δυνάμεως, ὡς εἴρηται, διατελεῖ· μειουμένης δὲ τῆς σφοδρότητος ταύτης ἐγείρεται τὸ αἰσθητικὸν αὖξον σὺν τῷ χρόνῳ, οὐ μέντοι γ' ἀεὶ ἐνεργοῦν, καὶ ἐν τούτῳ τῷ χρόνῳ οὐκέτι πρώτη, ἀλλὰ δευτέρα ἐντελέχεια ἔσται· δευτέρα δὲ οὐχ ὡς ὑποκειμένη τῆς πρώτης καθάπερ ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ οὐσίᾳ, ἀλλὰ δευτέρα κατὰ χρόνον, καὶ τάξιν, κατὰ τιμιότητα δὲ καὶ κατ' οὐσίαν, προτέρα καὶ πρώτη. Τοῦτο δὲ δῆλον ἐκ τοῦ νοῦ ὕστατον πάντων ἐπιγιγνομένου, προτέρου μέντοι κα τιμιωτέρου ὄντος, εἴπερ ὁ νοῦς τὸ οὗ ἕνεκα καὶ ἡ τελευταία διαφορὰ τοῦ εἴδους τοῦ ἀτόμου τῶν νοῦν ἐχόντων, τὸ δ' εἶδος σὺν τῇ τελευταίᾳ διαφορᾷ πρότερον ἐκ τοῦ πρώτου κινοῦντος καὶ ἐνεργείᾳ ὄντος νοῦ. Ὥστε τοῦ παντὸς ὁ Τρενδελεμβούργ ἥμαρτε· τοῦτο δὲ διὰ τὸ μὴ ἐπελθεῖν αὐτῷ, ὅτι περὶ τῆς πρώτης καὶ μεγίστης διαφορᾶς ἐνταῦθα ὁ λόγος, τῆς ἐν τοῖς ζώοις, τῆς, δυνάμει ἐν τῇ ἐνεργείᾳ οὔσῃ πρώτῃ ἐντελεχείᾳ, ἐνυπαρχούσης. Διὸ εἴρηται μὲν αὐτῷ καλῶς ὅτι ἀμφότεραι αἱ ἐντελέχειαι ὡς δύναμις πρὸς ἐνέργειαν ἔχουσιν, ἀλλ' οὐκ ἐξηκρίβωται· πρὸς γὰρ τὸ ἐνεργεῖν δυνάμει ἐστὶ τὸ αἰσθητικόν, πρὸς δὲ τὸ εἶναι οὔ (utraque vero ἐντελέχεια fero eodem modo inter se habet, quo δύναμις et ἐνέργεια σελ. 315)· καὶ ἐνεργείᾳ μὲν ἐνδελεχῶς ἡ πρώτη ἐντελέχεια, δυνάμει δ' ἡ αὐτὴ πρὸς τὸ γενησόμενον, τὴν αἴσθησιν.

135) π. ψυχ. Β'. α'. § 6.

136) Αὐτόθ. ταῦτα σύμφωνα τοῖς ἐν τῷ «περὶ φυτῶν» ἐκτεθειμένοις (κεφ. α'.) ἀλλ' οὐ πάντη ἀριστοτέλειος ἡ συγγραφὴ δοκεῖ, οἷον τὸ τὴν ῥίζαν αἰτίαν ζωῆς τιθέναι (κεφ. δ'. 819 α. 21) τὴν ὑγρότητα ὡς πέψιν λαβεῖν (κεφ. ζ'. 827 α. 24) καὶ ἄλλαι περίεργοι ἐν αὐτῇ ζητήσεις, ἀλλὰ περὶ τούτων ἄλλοις μελέτω.

Ὥστε κοινὸς λόγος ἐστὶ τὸ θρεπτικόν, οὐδὲν δυνάμει ὄν, ἀλλ' ἐντελεχείᾳ καὶ ἐνεργοῦν, καὶ ἐν μὲν τοῖς τελειοτέροις τῶν ὄντων δυνάμει ὂν τὸ ἐφεξῆς καὶ ἡ ἐχομένη δύναμις, οἷον τὸ αἰσθητικόν, αὐτὸ δὲ καθ' αὑτὸ ἐντελὲς ὂν καὶ ἐνεργείᾳ. Ἴσως δ' ἐρεῖ τις ὅτι καὶ τὸ θρεπτικὸν τοῦτο οὐ πάντη ἐντελὲς ἐν τοῖς φυτοῖς· οὔπω γὰρ ἡ τελεία ἐνέργεια, ἥπερ τότε ἔσται, ὅτε τὸ φυτὸν ἕτερον οἷον αὐτὸ ποιεῖν δύναται· τοῦτο ἕξει μὲν λόγον, ἀλλ' ἡ αὐτὴ ὑπόκειται δύναμις καὶ οὐ μεταβάλλει, οὐδ' ἐπέρχεται ἑτέρα ἧς ἕνεκα τὸ θρεπτικόν, ἀλλὰ ταὐτὸ θρεπτικὸν τῇ ὑπὸ τοῦ θερμοῦ καὶ ὑγροῦ ἐν τῇ γῇ πεπεμμένῃ τροφῇ χρώμενον, καὶ κατὰ μὲν τὴν πρώτην περίοδον μᾶλλον αὐξητικὸν ὄν, κατὰ μικρὸν δὲ τελειούμενον πάντη, καὶ πέττον καὶ πεπαῖνον, καὶ προϊὸν ἕτερον οἷον αὐτό, καὶ τρόπον τινὰ οὐχ ὡς πεφυκὼς ἄνθρωπος ἐπιστήμην δέξασθαι, ἀλλ' ὡς μαθητὴς διδασκόμενος τὸ ἀνάλογον[137]). Οὕτως οὖν τὸ πᾶσι τοῖς ὀργανικοῖς ὑποκείμενον καὶ πρῶτόν ἐστιν ἐνεργείᾳ τὸ θρεπτικόν, ὡς ὁ θεωρῶν καὶ οὐ πεφυκὼς πρὸς τὸ δέξασθαι ἐπιστήμην[138]). Πρώτη οὖν κίνησις ἡ ἁπλῆ γένεσις ἡ ἐκ τῶν στοιχείων διὰ τοῦ θερμοῦ καὶ ὑγροῦ παρασκευαζομένη ἄμορφος ὕλη ἥτις ἀλλοίωσίς ἐστι καὶ δυνάμει τόδε τι, μετὰ δὲ τοῦτο ἀλλοιωθέντος ἤδη τινὸς ἄρχεται ἡ εἰδοποιὸς ἐνέργεια ἡ τὰς ποικίλας μορφὰς ἐν πᾶσι τοῖς ὀργανικοῖς κατασκευάζουσα ἄλλως ἐν ἄλλῳ τῶν φυσικῶν ὄντων πρὸς ἴδιον τέλος[139]), καὶ αὕτη ἐστὶν ἡ ἀνωτέρω κληθεῖσα γένεσις, ἡ τελεία καὶ ἐνεργείᾳ οὖσα τόδε τι, ἡ θρεπτική τε καὶ αὐξητικὴ δύναμις

---

137) Τὸν αὐτὸν δὲ τρόπον τὸ ἀνάλογον, καὶ παρὰ τοῖς ζώοις, τρόπον τινὰ δ' οὔ· τὸ γὰρ πρῶτον γιγνόμενον ἐν τοῖς ζώοις βίον φυτοῦ ζῶν, καὶ οὐ πάντη τέλειον ἀλλὰ κατὰ μικρὸν τελειούμενον, ταὐτὸν ἔσται τῇ φυτικῇ δυνάμει καὶ ἀνάλογον τῷ διδασκομένῳ μαθητῇ· καθὸ δὲ αἰσθητικὸν τὸ πρῶτον γιγνόμενον δυνάμει ἔσται καὶ ἐναντίοις ὑποκείμενον ἐν τῷ ἀποτελεῖσθαι τὰ ὄργανα. Ἀποτελεσθέντων δὲ τῶν ὀργάνων τότε ἐπιτήδειον τὸ ζῶον καὶ εὐφυὲς πρὸς τὸ αἰσθάνεσθαι, διὰ δὲ τὴν ὑπερβάλλουσαν τῆς θρεπτικῆς δυνάμεως ἐνέργειαν ἐν ἠρεμίᾳ ὂν τὸ αἰσθητικὸν τυγχάνει. Ὥστε ἐν τοῖς ἐφεξῆς γινομένοις τὸ ἐνεργείᾳ ὂν δυνάμει ἔσται, οἷον ἐν τοῖς ζώοις τὸ ἐντελεχείᾳ ὂν κατὰ τὴν πρώτην περίοδον θρεπτικὸν ἔσται δυνάμει αἰσθητικὸν καὶ ὑποκείμενον τοῖς ἐναντίοις· ἀρχομένης δὲ τῆς ἐνεργείας τοῦ αἰσθητικοῦ, μεταβάλλει τὸ ζῶον ἐκ τῆς ἠρεμίας εἰς κίνησιν τὴν ἐφεξῆς, μαθητοῦ δίκην κτωμένου τὴν οὖσαν ἐπιστήμην, ὅτε οὐκέτι δυνάμει καὶ τοῖς ἐναντίοις ὑποκείμενόν ἐστιν, ἀλλ' ἐνεργείᾳ αἰσθητικὸν τὸ ζῶον, καὶ οὐ πάντως πάντη τετελειωμένον, κατὰ μικρὸν δὲ τελειούμενον. Καὶ τετελειωμένον αὖ οὐκ ἀεὶ ἐνεργοῦν, ἀλλ' ὁτὲ μὲν ὁτὲ δ' οὔ, ὡς ἐν τῇ ἐγρηγόρσει καὶ τῷ ὕπνῳ, καὶ τῷ ἀναλόγῳ, τῷ τὴν ἐπιστήμην ἔχοντι, καὶ ὁτὲ μὲν θεωροῦντι, ὁτὲ δ' ἠρεμοῦντι (π. ψυχ. Β'. ε'. § 4). Σημειωτέον δ' ὅτι οὐκ ἀκριβῶς ὥρισται ἡ περίοδος ἑκάστης τῶν ἐφεξῆς δυνάμεων παρὰ τῷ Ἀριστοτέλει.

138) Ὅτι ἡ ἐπιστήμη πρότερον ὡς τῶν ἀρχῶν οὖσα, τῶν αὐτῶν δὲ καὶ ὁ νοῦς, ὁ δὲ νοῦς πρῶτον καὶ κυριώτατα καὶ ἐνεργείᾳ ὤν, ὅρ. Μετ. Θ. η'. καὶ Λ. ζ'. Ἀναλ. ὑστ. Β'. ιθ'.

139) Ὅτι δέον ἀλλοιωθῆναί τι πρῶτον, καὶ τοῦτο ἔσται δυνάμει τὸ τόδε τι ἐντελεχείᾳ, καὶ παθητικὸν καὶ ποιητικόν, εἴρηται· ὅρ. δὲ καὶ π. αἰσθ. καί αἰσθ. δ'. 441 β. 19. Φυσ. Η'. γ'. 245 β. 6 κ. ε. π. ψυχ. Γ'. δ'. § 6 καὶ Β'. β'. § 15, ἔνθα ἡ ψυχὴ ἐντελέχεια «τοῦ δύναμιν ἔχοντος εἶναι τοιούτου» ὥρισται· τοῦτο δὲ τὸ ἔχον τὴν δύναμιν τὶ ἂν εἴη ἄλλο, ἢ τὸ ἀλλοιωτόν, ἡ παρασκευασθεῖσα

ἐν τῇ φύσει καὶ κοινὴ παντὶ ὀργανικῷ σώματι καὶ μεγίστη διαφορά. Εἰ δ' ἐπὶ τοῦ κατωτέρω γένους τῶν ζώων σκοποῖμεν ἡ αὐτὴ μεν ἔσται πρώτη δύναμις ἐντελής, πλὴν δυνάμει τὸ ζῶον, εἴπερ τὸ ζῶον αἰσθήσει διαφέρει, ἡ δ' αἴσθησις ὕστερον[140]).

§ 14. Ἀλλὰ τίς ἡ ἐν τοῖς οὖσι δύναμις αὕτη; μία, ἢ ὅσα καὶ τὰ φυσικὰ εἴδη; εἰ δὲ μία πῶς ἐκ τοῦ ἑνὸς τὰ πολλὰ προῆλθεν; εἰ δὲ πολλαί, πόθεν αὗται σταθεραὶ καὶ ἀεὶ αἱ αὐταὶ τὸ εἶδος; πῶς δὲ πολλαί, εἴπερ τὰ πολλὰ καὶ μεριζόμενα τῇ ὕλῃ ἀποδέδοται, τῷ νῷ δὲ τὸ ἕν; ἀεὶ δ' ἦν τὰ πολλὰ καὶ ἐπ' ἄπειρον δεῖ τὴν ἀρχὴν ἀναζητεῖν, ἢ στῆναι καὶ οὕτως ἐπιστήμην λαβεῖν; Τὰς ἀπορίας ταύτας εὐχερῶς ἄν τις ἄραι θεωρῶν τὸν Ἀριστ. ἀρχὴν ζητοῦντα, καὶ πρῶτον μὲν ὕλην ἀποδεχόμενον αἰωνίαν καὶ ἠρεμοῦσαν καὶ χρῄζουσαν κινήσεως πρὸς τὸ οὕτως ἢ ἄλλως συγκρίνεσθαι καὶ διακρίνεσθαι, τὸ δὲ κινοῦν ἀκίνητον εἶναι χρῆναι, καθορῶντα δ' ἐν τοῖς φύσει γιγνομένοις πᾶσι τέλος τι καὶ τὸ ἀγαθὸν καὶ καλόν, καὶ πάντα κατὰ λόγον ἢ ὡς ἐπὶ τὸ πολὺ κατὰ σταθερούς τινας νόμους, καὶ οἰκονομίαν, καὶ πρόνοιαν πρὸς σωτηρίαν, καὶ θαυμαστόν τι χρῆμα, ἐκτὸς τῶν παρὰ φύσιν γιγνομένων καὶ ἀπὸ τέχνης καὶ ταὐτομάτου· ἀνασκοποῦντα δ' αὖ καὶ τὰ τέχνῃ γιγνόμενα, καὶ διορῶντα ὅτι κινήσεως δέονται καὶ ὀργάνων καὶ ὕλης, καὶ ἐν παντὶ μέλει λόγος, καὶ πᾶν μέλος τοῦ ὅλου χάριν, οὐχὶ δὲ καὶ τἀνάπαλιν, πάντα δ' ἐκ τοῦ ἑνὸς νοῦ τοῦ τεχνίτου ἀπορρέοντα, τὴν δ' αὐτὴν ὕλην ποικίλας μορφὰς ὑπὸ τοῦ αὐτοῦ νοῦ ἀναλαμβάνουσαν· ἐκ τούτων δὲ τὸ ἀνάλογον καὶ ἐπὶ τοῦ θείου νοῦ μεταγαγόντα, καὶ ἐν αὐτῷ τήν τε πρώτην κίνησιν καὶ πᾶν εἶδος τιθέντα, καὶ αὐτὸν τὸν ἕνα νοῦν[141]) ἐξ ἀνάγκης πρῶτον κινήσαντα, καὶ τῷ θερμῷ καὶ τῇ ὕλῃ ὡς ὀργάνοις

τροφή; «οὐ γὰρ γίγνεται ἐκ τῆς γενέσεως τὸ γιγνόμενον ἀλλὰ μετὰ τὴν γένεσιν». Μετ. α. ἔλαττον β'. 994 β. 1 ὅρ δὲ καὶ 16 κ. ε.

140) Ταῦτα δὲ δῆλα ἐκ τῆς § 6 τοῦ α'. κεφ. τοῦ Β'. βιβλ. Ἐνταῦθα γὰρ τὸ κοινὸν πᾶσιν ὁ Ἀριστ. ζητῶν οὐ δυνάμει. αὐτὸ τίθησιν ἀλλ' ἐντελεχείᾳ, ᾗ δὲ χωριστὸν τὸ ζῶον τοῦ φυτοῦ, εἰκότως δυνάμει θεῖναι ἔδει· οὔπω γὰρ ἐστιν ἡ πρώτη διαφορὰ ἐνεργείᾳ ἀλλὰ δυνάμει (§ 5). Οὐδὲν προσέθηκε δὲ ὅτι ἀνάλογον τῇ πρώτῃ ἐντελεχείᾳ ἡ ἐπιστήμη, ἀλλ' ἁπλῶς «ἐντελέχεια ἡ πρώτη σώματος φυσικοῦ ὀργανικοῦ» (§ 6). Πρὸς τί δ' οὐ προσέθηκε καὶ ἐνταῦθα τὸ ἐπιστήμη καὶ θεωρεῖν; τὶς δὲ καθόλου ἡ ἀνάγκη τὸ δεύτερον μνείαν ποιῆσαι, εἰ μὴ ἀνωτέρω μὲν περὶ ζώων, νῦν δὲ περὶ παντὸς ὀργανικοῦ ὁ λόγος; ταῦτα εἰ καλῶς διεσκόπει ὁ σοφὸς Φόλκμανν (Ἔβερχαρδ σελ. 49), οὐκ ἂν ἀντιφάσκονθ' ἑαυτῷ τὸν Ἀριστοτ. ἀνεκήρυσσεν· ἔδει γὰρ ἀναλογίσασθαι ὅτι ἐντελέχεια ἡ πρώτη καθ' ἑαυτὴν ἐντελής, κατὰ τὸ ἐφεξῆς δὲ δυνάμει, καὶ ὅτι ἐν ἑαυτῇ τὴν ἀρχὴν ἔχει ἀλλοιωθέντος τινὸς πρότερον, οὐχὶ δὲ θύραθεν ἡ δημιουργὸς ἐν αὐτῇ δύναμις ἀποτελεῖ τὰ ὄργανα, ἅμα δ' ὅτι οὐ πάντη πάντως τελεία, ἀλλὰ κατὰ μικρὸν τελειουμένη, ἢ κρεῖσσον εἰπεῖν ἀποτελοῦσα τὸ ὀργανικόν, ὃ κάλλιστ' ἂν αὐτὸν ἡ ἀνατομία ἐδίδασκεν. Καὶ λογικῶς μὲν ἀντίφασις δοκεῖ, μάλιστα δὲ τῷ μὴ ἱκανῶς τὰ ἀριστοτέλεια μεμυημένῳ, καὶ τὴν ἐντελέχειαν παντάπασιν ἐντελῶς ἔχουσαν οἰομένῳ, καὶ λόγους μακρὰν τῶν συμβαινόντων ποιουμένῳ, ὄντως δὲ καὶ φύσει καὶ τάξει καὶ χρόνῳ οὔ.

141) Ὅτι μὲν εἷς ὁ νοῦς, καὶ πῶς εἷς ὡς μέτρον καὶ οὐχ ὡς μονὰς καὶ ἀριθμός, διὰ μακρῶν ἐν τῷ Ι. τῆς Μεταφυσικῆς πραγματεύεται.

χρησάμενον, καὶ ἐντελεχῆ πᾶσαν γένεσιν ποιήσαντα[142]). Διὸ ἀρχὴ καὶ αἰτία πάσης γενέσεως ὁ νοῦς τὸ πρῶτον κινοῦν καὶ πρὸς τέλος τὸ βέλτιστον[143]), καὶ κινοῦν μὲν ἐνδελεχῶς, ἅπαξ δὲ τέλος τῇ γενέσει θὲν καὶ ὁρίσαν τὰς λειτουργίας ἑκάστῳ ὄντι, οὐδ' ἀνάγκη δ' εἶτα οὐ παύεσθαι ἀλλὰ ταὐτὸν πᾶσαν ἐπιγιγνομένην γένεσιν τελειοῦν· ἱκανὴ γὰρ ἡ κίνησις καὶ ἡ ἐκλειπτική ἡ τὸ θερμὸν προσάγουσα καὶ ἀπάγουσα καὶ τὰ πρὸς τὸ γεννῆσαι ἕτερα οἷα αὐτὰ ὡρισμένα σώματα[144]).

Ἐκ πάντων οὖν τῶν προειρημένων συνάγεται ὅτι πρώτη ἐντελέχειά ἐστιν ἡ ἐν τῇ φύσει ὡρισμένη ὑπὸ τοῦ θείου δημεουργικὴ δύναμις ἡ ἐν τῇ καθαρωτάτῃ ὕλῃ τῇ κοινωνούσῃ ἑτέρου καὶ θειοτέρου σώματος τῶν καλουμένων στοιχείων[145]), τοῦ ὁμοίου συνεφελκτικὴ[146]) καὶ μορφοῦσα τὰ καθ' ἕκαστον φυσικὰ σώματα, καὶ κινητικὴ καὶ οὐ προϋπάρχουσα, ἀλλ' ἐν κινήσει τὴν ἀρχὴν ἔχουσα, καὶ οὐκ ἄνευ σώματος ἀλλ' ἅμα τῷ σώματι οὐδ' ἔξω σώματος ἀλλ' ἐν σώματι ἀναπτυσοομένη, καὶ τὴν ἀρχὴν σώζουσα πρὸς τὸ γενέσθαι ἕτερον οἷον αὐτὸ κατὰ τὸ ὡρισμένον ὑπὸ τοῦ θείου ἐν ἑκάστῳ ἴδιον τέλος, καὶ κατὰ μικρὸν τὰ προσήκοντα ἑκάστῳ ὄργανα ἀποτελοῦσα. Κίνησις οὖν ἡ πρώτη ἀρχὴ πρῶτον ἐν τῷ μᾶλλον τοῦ θείου κοινωνοῦντι ἀναλόγῳ τῷ τῶν ἄστρων στοιχείῳ ἐν ὡρισμένοις σώμασι, ἀρχαὶ δ' ὑποβεβηκυῖαι τὸ ὡρισμένον ἑκάστῳ σῶμα, καὶ ὁ μέσος ὅρος τοῦ τε θερμοῦ καὶ ψυχροῦ, καὶ τὸ ὑγρόν· πρωτίστη μὴν ἀρχὴ ἧς ἕνεκα πάντα, ὁ νοῦς, ἐξ οὗ καὶ τὸ ὡρισμένον ἑκάστῳ τέλος[147])· ψυχὴ δὲ τοῦ καθ' ἕκαστον σώματος τὸ εἶδος, οὐ πρότερον οὖσα, ἀλλ' ἐν σώματι καὶ μετὰ τοῦ σώματος, οὐχ ἡ δύναμις ἡ ἐν τῇ κινήσει μόνῃ, ἀλλ' ἡ ὡρισμένη, καὶ τῇ κινήσει καὶ ταῖς ῥηθείσαις ἀρχαῖς ἀναφαινομένη μορφή[148]), οὐ χωριστὴ οὐδ' ἐνεργείᾳ πρότερον, ἀλλ' ἐν κινήσει καὶ μετὰ τὴν κίνησιν τὴν πρώτην καὶ ἀτελῆ. Ἀλλ' εἴρηται ὅτι ψυχὴ τὸ εἶδός ἐστιν, τὸ δ' εἶδος πρότερον, καὶ ἀρχὴ καὶ αἰτία, πῶς οὖν ἐν σώματι καὶ μετὰ σώματος; λέγομεν οὖν ὅτι ἐνεργείᾳ, ἥδε ἡ ψυχὴ ἅμα τῷ σώματι, ἄλλως δ' ὡς ἐκ τοῦ πρῶτον καὶ κυριώτατα κινοῦντος καὶ ἐνεργείᾳ ὄντος νοῦ, καὶ δυνάμει· ὥστε χρόνῳ μὲν καὶ πρὸς ἡμᾶς ἅμα τῷ σώματι, τιμιότητι δὲ καὶ ὡς αἰτία, πρότερον τὸ εἶδος[149])· αὐτὴ γὰρ καὶ ἀρχὴ κινήσεως, εἴπερ κίνησις τὸ πρῶτον. Ἀλλὰ καὶ ἡ φύσις οὐσία καὶ εἶδος καὶ ἀρχὴ κινητική, καὶ τὸ οὗ ἕνεκα καὶ τὸ τέλος καὶ σοφὸς οἰκονόμος καὶ ἀρχιτέκτων, ὥστε ταὐτὸν δοκεῖ τῇ φύσει ἡ ψυχή[150]).

Ἀλλ' ἀνωτέρω[151]) εἴρηται ὅτι φύσις οὐδὲν ἕτερόν ἐστιν ἢ ἡ ἐνέργεια τῶν ἐν τῷ κόσμῳ κινήσεων πρὸς τέλος τι, καὶ τὴν ἀρχὴν ἐν τῷ πρῶτον κινοῦντι νῷ ἔχουσα, καὶ οὐκ αὐθυπόστατόν τι οὖσα, ἀλλ' ἐν κινήσει συμπεριειλημμένη ἕνεκά τινος, καὶ οὐχ ἡ ὕλη ἀλλὰ τὸ εἶδος οὗ ἕνεκα αἱ κινήσεις καὶ ἡ τῶν στοιχείων συνδρομή· οὐ μόνον δὲ τὸ εἶδος,

---

142) Ὅτι πρώτη ἡ κίνησις καὶ ἐνδελεχὴς καὶ τῆς γενέσεως πολλὰ τὰ αἴτια καὶ αἱ ἀρχαί, οἷον θερμὸν καὶ ἡ ἐκλειπτικὴ διὰ τὸ προσάγειν καὶ ἀπάγειν τὸ θερμὸν καί οὕτω γένεσιν ὑπάρχειν καὶ αὖθις ἐν τοῖς χωριστοῖς τὸ ἄρρεν καὶ θῆλυ, εἴρηται· ὅτι δ' οὐκ ἐπ' ἄπειρον ἰτέον, αὐτὸ τό, τὸ θεῖον ἐντελεχῆ ποιῆσαι τὴν γένεσιν, δείκνυσιν. Πῶς πλὴν κινεῖ τὸ θεῖον; τοῦτο ἀκατάληπτον (Βράνδις ἱστ. τ. Ἑλ. κ. Ρωμ. φιλ. μέρ. Β'. α'. σελ. 577. ἐν δὲ τῷ β'. σελ. 1015 τὴν ἐκλειπτικήν φησιν αἰτίαν τῆς γενέσεως καὶ φθορᾶς, ἀκριβέστερον δ' ἂν ἦν τὸ θερμὸν τὸ τῇ Ἐκλειπτικῇ προσαγόμενον καὶ ἀπαγόμενον), εἰ δὲ καί τι ἐγχωρεῖ πρὸς τὴν τούτων κατανόησιν οὐ τοῦ παρόντος καιροῦ. Εἰ δ' ὁ Βράνδις καὶ Ραβαισῶν καὶ Βόνιτσ καὶ εἴτις ἕτερος (αὐτόθ. σελ. 1042—43) προοδοποιοῦντα τὸν Ἀριστοτ. τῷ Λάϊβνιτσ φασίν, ἴσως δέ καὶ πολλῶν ἄλλων, ἄλλος λόγος. ὅτι δὲ δυϊστὴς ὁ Ἀριστοτ. δῆλον.

143) Μετ. Ζ. η'. 1033 α. 24 κ. ε. π. ζω. γεν. Β'. α. 735 α. 27 καὶ Μετ. Α. η'. 989 α. 15 «εἰ δ' ἔστι τὸ τῇ γενέσει ὕστερον τῇ φύσει πρότερον, τὸ πεπεμμένον καὶ συγκεκριμένον ὕστερον τῇ γενέσει .... περὶ τῆς τῶν κινουμένων αἰτίας» ... ἐξ ὧν δῆλον ὅτι καὶ τὰ γιγνόμενα πρότερον ἐν τῷ νῷ τὴν ἀρχὴν ἔχει (ὅρ. καὶ τά π. φύσεως ἡμῖν εἰρημένα) π. αἰσθ. δ'. 441 α. 9. ἰδίᾳ δὲ σπουδῆς ἄξιον τὸ π. ζω. γεν. Β'. στ'. καὶ π. ζω. κιν. α'.

144) Κατὰ ταῦτα ἔστι μέν πως τὸν Ἀριστοτέλη θεϊστὴν ἡγήσασθαι, ἔστι δ' ὡς οὔ, μᾶλλον δὲ πανθεϊστήν, οὐδέτερον δ' ἀληθὲς δοκεῖ. Ἐπεί, ὡς τιθέντα μὲν τὸν νοῦν ἅπαξ ποιήσαντα ἐντελεχείᾳ πᾶσαν γένεσιν, ἔστιν αὐτόν θεϊστὴν ἡγήσασθαι· ὡς δ' ὅτι πάντα μετέχει τοῦ θείου πῇ μεν μεῖζον πῇ δ' ἧττον, πανθεϊστήν. Ἀλλ' οὔτε ἅπαξ δημιουργῆσαν τὸ θεῖον παρὰ τῷ Ἀριστοτ. ἐπαύσατο παντάπασιν ἐνεργοῦν, οὔτ' ἀχώριστον τῶν ὄντων τυγχάνει ὄν, καὶ ἐν κινήσει καὶ ἐν δυνάμεσι φυσικαῖς ἐμπεριλαμβανόμενον καὶ κατὰ μικρόν τελειούμενον ἀκατάληπτόν τι χρῆμα καὶ αἰτιατὸν μᾶλλον ἢ αἴτιον, καθάπερ παρὰ τῷ Σπινόζα καὶ Ἐγέλῳ καὶ εἴτινι ἑτέρῳ, ἀλλ' ὂν ἐνεργείᾳ καὶ χωριστόν, ἀρχή καὶ εἶδος εἰδῶν, καὶ ἕν.

145) π. ζω. γεν. Β'. γ'. 736 β. 21 κ. ε. ποῖόν τι δὲ τὸ στοιχεῖον τοῦτο, ει τὸ φυσικὸν πῦρ τὸ πεφυκὸς πρὸς τὸν ὅρον φέρεσθαι, ἢ ὁ αἰθήρ, οὐκ ἐναργῶς ειρηται.

146) Ὅρ. τὰ π. γενέσεως εἰρημένα ἡμῖν (κεφ. ια'. § 1 κ. ε.).

147) Ὁ Βράνδις (Β'. β'. σελ. 1094) εὐστόχως, ὥς γ' ἡμῖν δοκεῖ, τήν ἐντελέχειαν ἐνεργὸν δύναμιν καλεῖ (Kraftthätigkeit), καὶ κατωτέρω (σελ. 1095) τὴν ψυχήν φησι τὴν πρώτην ἐντελέχειαν τοῦ ὑπὸ τῆς φύσεως ὡρισμένου καὶ ζῆν πεφυκότος, δῆλον ὅτι ὀργανικοῦ σώματος (die erste entelechie eines durch naturbestimmtheit zum Leben geeigneten d. i. organischen Körpers), ἀλλὰ περαιτέρω οὐ χωρεῖ, οὐδὲ παντάπασιν ἀκριβῶς τὰ τοιαῦτα πραγματεύεται (ὅρ. δὲ καὶ α'. σελ. 578).

148) Ἄπορον πῶς τινες λόγους ποιοῦνται σκοτεινοὺς καὶ οὐ τῇ τοῦ Ἀριστοτέλους διδασκαλίᾳ βεβαιουμένους οἷος ὁ Σνάϊδερ τὴν ἐντελέχειαν ἀνεπτυγμένην τινὰ δύναμιν φάς, ἣν οὐ χρεὼν ἐνεργείᾳ εἶναι, ἀναφέρεται δὲ καὶ εἰς τὸν Ρίττερ!! (σελ. 40 ὑποσ. 4). Εἶτα δ' αὖ τὴν ψυχὴν δύναμιν καὶ ἐνέργειαν, καὶ διττὴν ἐντελέχειαν εἶναί φησιν, μηδὲν ἐξακριβούμενος (σελ. 4 σημ. 1).

149) π. ψυχ. Β'. α'. § 9 καὶ 12 β. § 4 καὶ 12—13.

150) π. ψυχ. Β'. δ'. § 5. «Φανερὸν δ' ὡς καὶ οὗ ἕνεκεν ἡ ψυχὴ αἰτία· ὥσπερ γὰρ ὁ νοῦς ἕνεκά του ποιεῖ, τὸν αὐτὸν τρόπον καὶ ἡ φύσις, καὶ τοῦτ' ἐστιν αὐτῆς τέλος· τοιοῦτον δ' ἐν τοῖς ζῴοις ἡ ψυχὴ κατὰ φύσιν· πάντα γὰρ τὰ φυσικὰ σώματα τῆς ψυχῆς ὄργανα, καὶ καθάπερ τὰ τῶν ζώων, οὕτω καὶ τὰ τῶν φυτῶν ὡς ἕνεκα τῆς ψυχῆς ὄντα». Τίνα νοῦν ἐνταῦθα ὁ Ἀριστ. νοεῖ; τὸν νοῦν τοῦ τεχνίτου, ᾧ πᾶσα προπαρασκευὴ ἕνεκά τινος, ἢ τὸν θεῖον νοῦν; ἡμῖν δοκεῖ τὸ πρῶτον μᾶλλον ἐκ τοῦ εἰωθέναι τὸν Ἀριστ. τὴν ἐνέργειαν πρὸς τὸ γενέσθαι τι, καὶ τὰ πρὸς τοῦτο ὄργανα, τοῖς ἐν τῇ φύσει στοιχείοις καὶ τῷ θερμῷ καὶ τῇ κινήσει παραβάλλειν, τὸν δὲ τοῦ τεχνίτου νοῦν, ἐξ οὗ πᾶν τὸ τεχνητὸν εἶδος, τῇ φύσει.

151) Α'. κεφ. ε'.

ἀλλὰ καὶ ἡ ὕλη, εἴπερ ἀνάγκη ὑπάρχειν ὕλην· πρῶτον μὴν καὶ κυριώτατα τὸ εἶδος. Ὥστε ταὐτὸν ἔσται ψυχὴ καὶ φύσις, ἄμφω ταὐτὸν ἐκ τοῦ ἑνὸς νοῦ τοῦ κατὰ λόγον κινοῦντος, καὶ ἕνεκα τοῦ ἀγαθοῦ καὶ βελτίστου τέλους, πρῶτον τῇ ὑποκειμένῃ ἀμόρφῳ ὕλῃ καὶ τρόπον τινὰ οὐκ οὔσῃ, καὶ ταῖς ἐναντιότησιν ὡς ὀργάνοις χρωμένου[152]), *καὶ ὡρισμένον τι καὶ σταθερὸν εἶδος ἐν τοῖς καθ' ἕκαστον ἐπενεγκόντος.* Τρία *οὖν ἔσται, τό τε οὗ ἕνεκα, τὸ τέλος ἐν τῷ παντὶ ἐν τῷ νῷ τὴν ἀρχὴν ἔχον, καὶ τὸ*

[152]) Τοῦτο *δὲ τὸ εἰρημένον αὐτῷ ὅτι τό τε πρῶτον κινοῦν καὶ τὸ οὗ ἕνεκα ταὐτό· τέλους γάρ τινος ἕνεκα κινεῖται τὸ κινούμενον ὑπὸ τοῦ πρῶτον κινοῦντος.* Τετελειωμένον *δὲ τὸ κινούμενον τὶ ἄλλο ἔσται ἢ τὸ προτεθειμένον τῷ νῷ τέλος; ὥσπερ οὖν τόδε τι τὸ τεχνητὸν ἐν τῇ τοῦ τεχνίτου διανοίᾳ τὴν ἀρχὴν τὴν πρώτην ἔχει, καὶ ἐξ αὐτῆς τὸ εἶδος, οὕτω καὶ τὰ φύσει γιγνόμενα.* Ἐπεὶ *δὲ πᾶν τὸ τεχνητὸν ὀργάνοις τισὶ παρασκευάζεται, οὕτω καὶ τὸ φύσει γιγνόμενον, καὶ τοῦτό ἐστι τὸ πολλοῖς πράγματα παρασχὸν ἐκεῖνο, «διττῶς δὲ τὸ οὗ ἕνεκα, τό τε οὗ καὶ τὸ ᾧ»* (π. ψυχ. Β'. δ'. § 5 *καὶ* 2)· *οὗ μὲν ἕνεκα τὸ τέλος πρὸς ὃ ἐγένετο, ᾧ δέ, τὸ ὄργανον δι' οὗ πραγματοῦται τὸ προτεθειμένον τέλος, ἢ καὶ πολλὰ ὄργανα· οὐδὲν γὰρ διοίσει, ἐπεὶ ἓν τὸ τέλος καὶ ὁ λόγος εἷς ὁ τελευταῖος.* Εἰ *δ' αὖ τοῦ τέλους ἡ ἐπίτευξις πολλῶν δεήσεται μερῶν καὶ λόγον τοῦ καθ' ἕκαστον μέρους ἀνάγκη εἶναι, καὶ πολλοὶ ἔσονται λόγοι, καὶ τῇ μὲν πλείονες, τῇ δ' ἥττονες, οὐδὲν διοίσει· ἓν γὰρ τὸ ζητούμενον καὶ πρὸς ἐπίτευξιν προτεθειμένον, ἔν τε τοῖς φύσει γιγνομένοις, καὶ τοῖς τέχνῃ, καὶ τοῖς ἀπὸ διανοίας καθόλου, τὰ δ' ἄλλα προπαρασκευὴ πρὸς τὸ τέλος· αὕτη δ' ἐστὶν ἡ τελευταία διαφορά, οἷον, εἰ ἀνθρώπου τὸ ἐπιστήμης δεκτικὸν εἶναι, καὶ μουσικῆς τὸ ποιάν τινα ποιεῖν τὴν ψυχήν, καὶ ὀρνέων τὸ πτητικὰ εἶναι, καὶ πολιτικῆς τὸ εὐδαίμονας τοὺς πολίτας ὡς οἷόν τε καθιστάναι, καὶ ῥητορικῆς τὸ θεωρῆσαι τὸ ἐνδεχόμενον πιθανόν, καὶ τοῦτο ἡ οὐσία φύσει προτέρα οὖσα (εἰ καὶ πρὸς ἡμᾶς πρότερα τὰ προπαρασκευαστικὰ μέσα), καὶ τὸ εἶδος καὶ ὁ ὁρισμός παντός (ὅρ. ἀνωτέρω* Α'. στ'. § 3 *κ. ε.*) Ὁ Σιμπλίκιος *οὐ πάνυ ἀκριβῶς ἡρμήνευκε τὸ χωρίον· φησί γάρ·* (Τρενδ. π. ψυχ. σελ. 353) *«τὸ μὲν ὡς ἡ τελειότης καὶ ἡ ἀγαθότης»* (τὸ οὗ), *«τὸ δὲ ὡς τὸ τέλειον καὶ τὸ ἀγαθυνθέν, τὸ μὲν ὡς ἡ ἀρετή καὶ ὑγιεία, τὸ δὲ ὡς ὁ σπουδαῖος καὶ ὁ ὑγιειαίνων», εἶτα δ' ἐπάγει, «καὶ τὸ μὲν ὡς τὸ οὗ, οὗ ἡ τεῦξις, τὸ δὲ ὡς τὸ, ᾧ, ᾧ γίγνεται, καὶ ἡ μέθεξις»· τοῦ ἐσχάτου δὲ τούτου μόνον ηὐστόχησε, τὰ δ' ἀνωτέρω μόνον ἐπὶ τοῦ, οὗ ἐφαρμόζει· ταὐτὸ γὰρ τὸ ἀγαθὸν καὶ ἀγαθῷ εἶναι καὶ τέλειον καὶ τελείῳ εἶναι· εἰ δ' ἡ κατάστασις ἐν τῷ γίγνεσθαι νοεῖται, οὔπω τελειότης καὶ ἀγαθότης ἐστίν ἀλλὰ μᾶλλον ἐνέργεια πρὸς τὸ τελειοῦσθαι, καὶ τότε μᾶλλον ἂν τῷ ᾧ ἁρμόσειεν.* Ο Τρενδελεμβούργ *δ' ἀσαφῶς ὡσαύτως· καὶ πρῶτον μέν φησιν, ἀκαίρως εἰσηγμένα* (importune intrasa) *ταῦτα!! εἶτα δ' ἐπιχειρῶν ἑρμηνεῦσαι τὸ μὲν οὗ ἀποδίδωσι τῷ πράγματι* (rei), *ἀσαφῶς· ἐν γὰρ τῷ εἶναι τὸ πρᾶγμά ἐστιν ὕλη τε καὶ εἶδος, καὶ ἡ σύνοδος ἀμφοτέρων, καὶ πρώτη καὶ τελευταία διαφορά, καὶ ἐναντιότητες, καὶ ἐντελέχεια πρώτη, οὐ μέντοι γε πάντως τὸ πρᾶγμα ἐντελές, πότε οὖν τὸ πρᾶγμα ληπτέον; καὶ ὀρθὸν μὲν ὅτι τὰ ὄργανα τῷ σώματι δουλεύουσι καὶ τελειοῦται τῆς ψυχῆς ἕνεκα πᾶν σῶμα· πλὴν ἔστιν ὅτε τὸ μὲν σῶμα τέλειον πάντη δοκεῖ, οὔπω δ' ἡ τελευταία διαφορά, οἷον παρὰ τοῖς νηπίοις, τελείοις μὲν δοκοῦσιν, οὔπω δὲ πάντη καὶ ἐν τῇ τελευταίᾳ διαφορᾷ, τῆς σφοδρότητος τοῦ θρεπτικοῦ κωλυούσης τὴν ἀνάπτυξιν, τὸ δὲ ᾧ, τοῖς δουλεύουσι τῷ πράγματι· πλὴν τίνα ταῦτα; πῶς δ' ἔχοντος τοῦ πράγματος; θῖνες ἄνυδροι!*

τούτου δὴ ἕνεκα ὡρισμένον ἑκάστῳ εἶδος, καὶ τριτον τὰ ὄργανα ἐν οἷς τὸ τούτου ἕνεκα, τὸ τόδε τι, τὸ εἶδος[153]).

[153]) Τούτοις *δὲ πᾶσι συνομολογεῖ τὸ π. ζω. γεν.* Β'. *στ'.* 742 *α.* 20 «Τὸ *τε γὰρ οὗ ἕνεκα καὶ τὸ τούτου ἕνεκα» (τὸ τόδε τι δῆλον ὅτι, τὸ ὡρισμένον εἶδος) «διαφέρει, καὶ τὸ μὲν τῇ γενέσει πρότερον αὐτῶν ἐστι, τὸ δὲ τῇ οὐσίᾳ» (τῇ γενέσει μὲν καθὸ ἐν τῷ νῷ τῷ πρώτιστα πάντων καὶ ἐνεργείᾳ ὄντι τὴν ἀρχὴν ἔχον, τῇ οὐσίᾳ δέ καθὸ εἶδος τοῦδε τοῦ σώματος τοῦ ὡρισμένου, τῆσδε τῆς πρώτης οὐσίας τῆς συνθέτου).* «Δύο *δὲ διαφορὰς ἔχει (και) τὸ οὗ ἕνεκα· τὸ μὲν γὰρ ἔστιν ὅθεν ἡ κίνησις, τὸ δὲ ᾧ χρῆται τὸ οὗ ἕνεκα» (ταῦτα δ' ἂν εἶεν κατὰ τὴν ἡμῶν γνώμην ὁ νοῦς καὶ ἡ φύσις)· «λέγω δ' οἷον τό τε γεννητικὸν καὶ τὸ ὀργανικὸν τῷ γινομένῳ· τούτων γὰρ τὸ μὲν ὑπάρχειν δεῖ πρότερον, τὸ ποιητικόν, οἷον, τὸ διδάξαν τοῦ μανθάνοντος τοὺς δ' αὐλοὺς ὕστερον τοῦ μανθάνοντος αὐλεῖν· περίεργον γὰρ μὴ ἐπισταμένοις αὐλεῖν ὑπάρχειν αὐλούς.* Τριῶν *δ' ὄντων, ἑνὸς μὲν τοῦ τέλους, ὃ λέγομεν εἶναι οὗ ἕνεκα, δευτέρου δὲ τῶν τούτου ἕνεκα, τῆς ἀρχῆς τῆς κινητικῆς καὶ γεννητικῆς (τὸ γὰρ ποιητικὸν καὶ γεννητικόν, ᾗ τοιαῦτα, πρὸς τὸ ποιούμενόν ἐστι καὶ γεννώμενον), τρίτου δὲ τοῦ χρησίμου καὶ ᾧ χρῆται τὸ τέλος, πρῶτον μὲν ἀναγκαῖον ὑπάρχειν τι μόριον, ἐν ᾧ ἡ ἀρχὴ τῆς κινήσεως (καὶ γὰρ εὐθὺς τοῦτο μόριόν ἐστι τοῦ τέλους ἓν καὶ κυριώτατον), ἔπειτα μετὰ τοῦτο τὸ ὅλον καὶ τὸ τέλος, τρίτον δὲ τελευταῖον τὰ ὀργανικὰ τούτοις μέρη πρὸς ἐνίας χρήσεις».* Ἐκ *τῶνδ' οὖν πρῶτόν ἐστι τὸ οὗ ἕνεκα, τὸ καθόλου ἐν τῇ φύσει τέλος, εἶτα δὲ τὸ καθ' ἕκαστον εἶδος τὸ ὡρισμένον ἐν τῷδε τῷ σώματι καὶ τούτου ἕνεκεν, καὶ τρίτον τὰ πρὸς τὸ ἐφικέσθαι τοῦ τέλους ὄργανα.* Ἱκανὰ *δὲ ταῦτα δοκεῖ πρὸς ἐντελῆ κατανόησιν τῆς ῥήσεως. ὅρ. δὲ καὶ* Φυσ. Β'. *β'.* 194 *α.* 27 *κ. ε. π. ζω. κιν. στ'.* 700 *β.* 26. Ὡς *οὖν τὰ φυσικὰ ὄντα τοῦ ὅλου ἕνεκα, οὕτω καὶ τὰ μόρια τοῦ καθ' ἕκαστον πρὸς τὴν ὅλην τοῦ αὐτοῦ ἰδέαν, καὶ οὕτως ἔσται, οὗ ἕνεκα τὸ ἀγαθὸν καὶ καλὸν ἐν τῷ παντὶ καθόλου, τούτου ἕνεκα δέ, τὰ ἐν τῇ φύσει ὄντα ὡς ὄργανα.* Καὶ *πάλιν, οὗ ἕνεκα τόδε τὸ εἶδος· τούτου ἕνεκα δέ, τὰ μόρια τ' ἀποτελοῦντα τόδε τὸ εἶδος ὅλον, ὡς ἐστιν εἰκάσαι καὶ ἐκ τοῦ* Πολιτ. Η'. *η'.* 132 *α.* 28, *καὶ καθόλου ἐκ τῆς τοῦ Ἀριστοτέλους διδασκαλίας ὅτι τὸ κατώτερον τοῦ ἀνωτέρου ἕνεκα, καὶ ὅλον τι, μείζονός τινος ὅλου ἕνεκα, καὶ τὸ ἐντελεχείᾳ τόδε δυνάμει πρὸς ἀνώτερόν τι καὶ ἐφεξῆς, οἷον ἄνθρωπος, οἰκογένεια, ὁμάς, κοινωνία ἡ πρώτη, χωρίον, πόλις, ἔθνος, τοῦ ἄριστον καὶ αὐτάρκη καὶ εὐδαίμονα βίον βιοῦν ἕνεκα, τὸ ἀνάλογον δ' ἐν τῇ φύσει· ὡς γὰρ ἐν τῇ οἰκοδομήσει οἴκου, λίθοι καὶ ξύλα καὶ ἄσβεστος καὶ σίδηρος καὶ χρώματα, τὸ δὲ ποιητικὸν οἱ καθ' ἕκαστον τεχνῖται, οἷον σιδηρουργὸς καὶ ξυλουργὸς καὶ λιθοδόμος καὶ ζωγράφος, οὕτω τὰ καθ' ἕκαστον τῇ τέχνῃ εἰργασμένα πρὸς τὸν ὅλον οἶκον, καὶ οἱ καθ' ἕκαστον τεχνῖται πρὸς τὸν ἀρχιτέκτονα.* Ὁ Βόνιτς *οὐδόλως τὸ οὗ καὶ τὸ ᾧ ἑρμηνευθῆναι δυνάμενα φησίν* (nullo modo), *ἀποδέχεται δὲ τὴν τοῦ* Σβέγλερ *αὐθαίρετον διόρθωσιν «ἔστι γὰρ διττὸν τὸ οὗ ἕνεκα, ὧν τὸ μὲν ἔστι, τὸ δ' οὐκ ἔστιν».* Ἀλλ' *ὦ 'γαθοί, οὐ περὶ ἐναντίων ὁ λόγος, οὐ περὶ ὄντος καὶ μή, ἀλλὰ περὶ τέλους καὶ τῶν πρὸς τὸ τέλος, οὐδὲ περὶ κινητῶν καὶ ἀκινήτων· καὶ γὰρ ταῦτα ἔστιν.* Ἡμαρτημένως *δὲ καὶ τὸν* Θεμίστιον *εὐστοχῆσαί φησιν· οὗτος γὰρ μᾶλλον τὰ πράγματα ταραχῆς ἐνέπλησεν· ἐπεὶ πρῶτον μέν φησιν διττὸν εἶναι τὸ τέλος, ἧς τήν τε εὐδαιμονίαν καὶ τὸν καθ' ἕκαστον ἄνθρωπον· ὥστε ἔσται ἡ εὐδαιμονία και καθ' ἑαυτήν, καὶ ἐν ἑκάστῳ ἰδίᾳ αἱρετὸν καθ' ἑαυτὸ καὶ ὄν· εἶτα δὲ τὴν ὑγιείαν ὡς τὸ οὗ, καὶ τὸ κάμνον ὡς τὸ ᾧ.* Ἀλλ' *ἐν μὲν τῷ εὐδαιμονεῖν*

Κεφ. ιδ'.

Σ υ μ π έ ρ α σ μ α.

§ 1. Ὡς οὖν οἷόν τ' ἦν ἡμῖν ἐξ αὐτῶν τῶν τῷ Ἀριστοτέλει πεπονημένων τὰ περὶ τῆς πρώτης ἐντελεχείας ἱκανῶς ἐκτέθειται· ἴσως δὲ καὶ ὑπὲρ ὅ ἔδει λόγον ἐποιησάμεθα, καὶ ἐπαχθεῖς τισι δόξομεν, πλὴν ἐλπίζομεν συγγνώμης τυχεῖν· ἐπεὶ κατ' ἀνάγκην οὕτω βεβαδίκαμεν, ὅπως μὴ καὶ ἄλλοι, ὡς ἡμεῖς, ἐν ἀπόρῳ ἔχωνται τῷ Ἀριστοτέλει ἐντυγχάνοντες, ἰδίᾳ δὲ τῇ περὶ ψυχῆς συγγραφῇ αὐτοῦ, ἧς πᾶσαι αἱ ἄλλαι συγγραφαὶ ἅπτονται καὶ δὴ φυσιολογικαὶ καὶ μεταφυσικαί. Εἰ οὖν τις παρελθὼν ἔροιτο, τί ποτ' ἂν εἴη ἡ ψυχή; ὑμεῖς γὰρ δύο παρὰ τοῦ Ἀριστοτ. πρόσωπεῖα παραλαβόντες, ότὲ μὲν τοιόνδε, ότέ δ' ἀλλοῖον ἑαυτὸν παρέχετε. Ὄντως δίκαιος ὁ ἐρόμενος, πλὴν στήτω καὶ μὴ σπευδέτω, καὶ ὄψεται ὅτι κατ' ἀνάγκην οὕτω τὸ πρᾶγμα ἔχει, καὶ τὸν ὀρθῶς προϊέναι βουλόμενον οὕτω βαδίζειν χρή. Εἰ γὰρ ἡ αἴσθησις πρώτη καὶ ἐκ ταύτης πᾶσα ἡ γνῶσις, ἐκ ταύτης πρῶτον ἄρχεσθαι χρή· ἐκ τῶν κατὰ μέρος δ' αἰσθήσεων ἐπὶ τὰ καθόλου καὶ καθολικώτατα, κἀνταῦθα συλλογίζεσθαι, εἴπερ ἔστι τι παρὰ τὰ καθ' ἕκαστα οὔτε πάντα αἰσθητὰ καὶ οὐδὲν παρὰ ταῦτα, οὐδ' ἐπιστήμη ἄρα. Οὕτω δὴ καὶ ὁ Ἀριστοτέλης, ὡς μὲν φυσικὸς ὁρίσειεν ἂν τὴν ψυχήν, **ἀρχὴν θρεπτικὴν ὀργανικὴν ἐν τοῖς ὑποκειμένοις στοιχείοις καὶ ταῖς ἐναντιότησι τοῦ θερμοῦ καὶ ψυχροῦ**, ὡς πρῶτος δὲ φιλόσοφος, **ἀρχὴν εἰδοποιὸν κατὰ λόγον δημιουργοῦσαν ἕκαστον εἶδος ὡρισμένον ὑπὸ τοῦ πρῶτον καὶ κυριώτατα κινοῦντος νοῦ**, ὡς ἄμφω δ' ὁ αὐτὸς ὤν, καὶ τέλος ἐνορῶν ἐν παντὶ ἐκ τῆς ἀρχῆς τῆς πρώτης κινητικῆς, τὸ δὲ τέλος ἐν σώματι καὶ διὰ κινήσεων, **ἐντελέχειαν σώματος φυσικοῦ ὀργανικοῦ**[1]· τῶν δ' αὖ φυσικῶν σωμάτων οὐ πάντη πάντως ἐντελῶν ὄντων, ἀλλὰ πρώτου τινὸς καὶ κοινοῦ πᾶσι γιγνομένου,

---

ἔσται ὁ ἄνθρωπος τοῖς εναντίοις ὑποκείμενος, καὶ τρόπον τινὰ οὐκ ὢν οὔτ' ἐν ἕξει, οὔτ' ἐν στερήσει, ἐν δὲ τῷ κάμνοντι ἡ ἑτέρα τῶν ἐναντιώσεων, ἡ στέρησις. Λέληθε γοῦν τὸν Θεμίστιον, ὅτι ᾗ τὸ οὗ καὶ ᾧ εἴρηται, περὶ τοῦ τέλους καὶ τῶν πρὸς τὸ τέλος εἴρηται, περὶ τοῦ εἴδους καὶ τῶν ἀποτελούντων τὸ εἶδος, καὶ οὐ περὶ ἕξεως καὶ στερήσεως, ᾗ ἐνεργείᾳ καὶ δυνάμει, καὶ ὄντος καὶ οὐκ ὄντος, περὶ ὄντος δὲ μόνον, ἐν ᾧ δύο κατ' ἀνάγκην, τὸ τέλος καὶ ἡ τελευταία διαφορά, ἥπερ ταὐτόν τῷ τὶ ἦν εἶναι καὶ πρῶτον κινοῦντι, καὶ τὰ ὄργανα, δι' ὧν ἐφικέσθαι τοῦ τέλους ἐστίν (ὅρ. Βόνιτσ. μέρ. β'. σελ. 499—500). Ἡμαρτημένως δὲ καὶ τὸν Ἀνσιῖών τοῦτο ἡρμηνευκέναι φαμέν· φησὶ γὰρ ὅτι, τὸ μὲν οὗ ἐστι τὸ ἐγγύτερον τέλος, τὸ δὲ ᾧ τὸ ἀπώτερον (Le τὸ μὲν οὗ c'est le but prochain; le τὸ δὲ ᾧ c'est le but éloigné), μᾶλλον δὲ τοὐναντίον δοκεῖ· τὸ μέν φησιν, οὐδαμῶς νοῦν ἐν τῇ ὀργανικῇ ἀρχῇ ὑποτίθησιν, ἔστι δ' ἐνέργεια μηχανική, τυφλή, (L'un ne suppose point d'intelligence dans le principe organisateur, et n'est qu'un effet machinale aveugle σελ. 35), ἀλλὰ τοῦτο μᾶλλον τῷ ᾧ πρέπει, δι' οὗ παρασκευάζεται τὸ οὗ, ἡ τελευταία διαφορά· τούτοις δὲ καὶ οἱ γραμματικοὶ νόμοι συνηγοροῦσι μᾶλλον καὶ ἡ διδασκαλία τοῦ Ἀριστοτέλους.

1) Εἴρηται οὐχ ἅπαξ ὅτι φύσιν ὁ Ἀριστοτ. τὴν ἐν τῷ παντὶ κίνησιν, καὶ ἐκ κινήσεων ἐνέργειαν καλεῖ, ἐκφαινομένην μᾶλλον ἐν τῇ ἐφελκτικῇ τοῦ θερμοῦ δυνάμει, καὶ οὐκ αὐθυπόστατόν τι καὶ χωριστόν· πόρρω δ' ἀπέχει τῷ θερμῷ τὴν ψυχι-

εἶτα ὅτι τῷ ἐφεξῆς γίγνονται τἆλλα διορῶν, **ἐντελέχειαν πρώτην σώματος φυσικοῦ ὀργανικοῦ.** Τοῦτο δ' ἐστὶ τὸ ἐν τῷ ἀνωτάτῳ γένει ζητούμενον καὶ πρῶτον ὑποκείμενον καὶ ἔργον ταὐτὸν τῇ ἐνεργείᾳ καὶ ἅμα ὄν[2]· ἅμα γὰρ ὄμμα καὶ ὅρασις, καὶ θεωρία καὶ θεωρεῖν, καὶ ψυχὴ καὶ ζῆν[3]. Ἐπεὶ δὲ πάντα τῷ ἐφεξῆς πέφυκε γίνεσθαι, ἐξ ἀνάγκης εἴη ἂν τὸ πρῶτον, δυνάμει τὸ ἐχόμενον, μάλιστα δὲ τὸ ἀπωτέρω διὰ τὸν αὐτὸν λόγον. Εἰ οὖν τις ἐν τοῖς κατωτέροις γένεσι ζητοῖ τὸν λόγον, ἐν τοῖς ἐφεξῆς ἂν αὐτὸν εὕροι καὶ τῇ τελείᾳ ἐνεργείᾳ, εἴπερ τέλος προὐτέθη καὶ πάντα τὰ πρότερα διὰ τὴν τελείαν ἐνέργειαν. Δεδομένου οὖν τοῦ πρώτου τὸ ἐχόμενον ζητητέον καὶ τὴν τελευταίαν διαφορὰν ἐν τῷ πάντη πάντως τετελειωμένῳ, ὅτ' οὐκ ἔσται ἕτερον ἡ χρῆσις καὶ ἡ τελεία ἐνέργεια, ἀλλὰ ταὐτὸν καὶ ἅμα. Ὥστε ἔσται τὸ πρῶτον ἐνεργείᾳ μὲν καθ' αὑτό, δυνάμει δὲ τῷ ἐφεξῆς τὸ ἐχόμενον, τούτου δ' αὖ ἐνεργείᾳ ὄντος δυνάμει ἔσται τὸ ἁπτόμενον μέχρι τῆς τελευταίας διαφορᾶς καὶ τελείας ἐνεργείας, οἷον ἐν τῷ κατωτάτῳ γένει τῶν ἀνθρώπων, πρώτη ἐντελέχεια ἡ θρεπτικὴ ἀρχὴ καὶ αὐξητική, ἐχόμενον δ' ἡ αἴσθησις δυνάμει οὖσα, σὺν τῷ χρόνῳ δ' ἀναπτυσσομένη, ταύτης δ' αὖ ἐνεργείᾳ οὔσης δυνάμει ἔσται ἡ ἐπιστήμη καὶ τελευταία διαφορά, εἴπερ ὁ ἄνθρωπος τῷ ἐπιστήμης δεκτικὸς εἶναι τῶν ἄλλων ζώων διοίσει[4]. Ἄτοπον οὖν τὸ φάναι τὴν πρώτην ἐντελέχειαν εἶναι δυνάμει ἐπιστήμην, τὸ δὲ προσεχέστατον, τοῦτο δὲ τὸ αἰσθάνεσθαι[5].

§ 2. Τούτων οὖν οὕτως ἐχόντων, τίς ἂν εἴη ὁ ἀμφιγνοῶν εἰ ὁ Ἀριστ. ἕτερόν τι εἰπεῖν βούλεται, ἢ τὴν εἰδοποιὸν ἐν τῇ φύσει δύναμιν, τὴν

κὴν ἀρχὴν ἀποδοῦναι· ἦν γὰρ ἂν φύσις καὶ θερμὸν ταὐτό, εἴπερ θερμὸν καὶ ψυχὴ ταὐτό· ἡ γὰρ ψυχὴ ἐν τῇ φύσει καὶ οὐκ ἄνευ φύσεως, καὶ ταὐτόν.

2) Εἴρηται ὅτι ὁ Ἀριστ. ποιεῖται διάκρισιν ἔν τε τοῖς φύσει καὶ τέχνῃ γιγνομένοις, ἐν μὲν γὰρ τῇ φύσει ἅμα τὸ ἔργον τὸ πρὸς τὸ τέλος καὶ ἡ ἐνέργεια, ἐν δὲ τῇ τέχνῃ «ἕτερον παρά τὴν χρῆσιν τὸ γιγνόμενον» Μετ. Θ. ή. 1050 α. 30 κ. ε.

3) Τὸ ζῆν ἐνταῦθα ἐν τῇ καθόλου σημασίᾳ τοῦ γινομένου θρέψει τε καὶ αὐξήσει, οὐχὶ δὲ τῆς τῶν ζώων ζωῆς, ᾗ τὸ ζῷον πρώτως διὰ τὴν αἴσθησιν ζῷον λέγεται· τοῦτο γὰρ ἡ πρώτη καὶ τελευταία διαφορὰ ἐν κατωτέρῳ γένει, ὡς ἐκ τῶν προειρημένων δῆλον.

4) Ὅτι τὸ ἐνεργείᾳ ὂν δυνάμει ἔσται ἕτερον δῆλον· ὁ γὰρ ἀνδριὰς ἐνεργείᾳ ἦν χαλκὸς ἢ μάρμαρον πρὸ τοῦ γενέσθαι ἀνδριάντα, ὁ δ' αὖ χαλκὸς γῆ. Ὡσαύτως δ' ἐν τοῖς φύσει γιγνομένοις, πρῶτον ἡ γονὴ ἅμα τῷ τῆς τροφῆς περιττώματι, εἶτα δὲ τῇ συνεφελκύσει τοῦ χρησίμου περιττώματος καὶ τῇ τοῦ θερμοῦ συνεργείᾳ χυμὸς ἢ αἷμα, ὕστερον καρδία καὶ ἧπαρ ἢ ἐγκέφαλος καὶ τὰ ἐφεξῆς, ὅτε ἀόριστον πότε ἡ ἁφὴ μεθ' ἣν τὰ ἄλλα αἰσθητήρια καὶ τελευταῖον ὁ νοῦς. Ὅτι ταῦτα δ' οὕτως ἔχει μαρτυρεῖ τὰ ἐν τῷ ζ'. καὶ η'. κεφ. τοῦ Θ. τῆς Μετ. ἐκτεθειμένα.

5) Ὅρ. Βόνιτσ μέρ. β'. σελ. 398 «Potentiam vero quum quaerit quae potissimum nuncupetur, sive quando quid recte dicatur δυνάμει esse, diligentissime id Arist. spectat, ut proximam, τὴν προσεχεστάτην, omnibus notis definiat». συνομολογῶν δὲ καὶ ὁ κ. Χάϊντσε (Heinze) ἣν ἐν ταῖς κατ' ἰδίαν ἐν Λειψίᾳ διατριβαῖς, οἶμαι δὲ καὶ πᾶς εὖ φρονῶν, καὶ τῷ Ἀριστ. ἐντυχὼν συνεχῶς, καὶ σπουδῇ ἐξερευνῶν. Ὅρ. δὲ καὶ Φυσ. Δ'. ε'. κεφ.

τόδε τι παρασκευάζουσαν τῇ κινήσει πρῶτον καὶ τῷ συναιτίῳ θερμῷ καὶ τῇ συνδρομῇ τῆς ὕλης, καὶ ἐν τῷδε τῷ ὡρισμένῳ σώματι; τίς δ' ἐπισπερχῶς βαδίζων κίνησιν μόνην ἂν θείη, ἢ θερμὸν ἢ ὕλην ἢ τι ἕτερον; οὐδείς, ὡς εἰκός, εἰ μὴ ὁ ἀψάμενος μόνον καὶ μὴ διερευνήσας τὰ ὄντα, ὁ εὐτελῆ ἐμπειρίαν ἑαυτῷ πορισάμενος, καὶ μὴ ἐπὶ τὰς καθόλου ἀρχὰς ἀνιών, ἢ ὁ τὸ ὕστερον καὶ τὸ νῦν φαινόμενον σκοπῶν, τοῦ δὲ προτέρου καὶ τῶν πρώτων ἀρχῶν καταμελήσας.

Δέδεικται δή, τὸ γ' ἡμῖν δοκοῦν, ὅτι πρῶτα μὲν κίνησις καὶ θερμόν, πρώτιστον δὲ τὸ εἶδος οὐ καθ' αὐτὸ αὐθυπόστατον καὶ ἀκίνητον ἐκτὸς τῆς ὕλης, ἀλλ' ἐν τῷ πρῶτον κινοῦντι, καὶ δοκοῦν μὲν ἅμα, πρότερον δὲ χρόνῳ τε καὶ τιμιότητι καὶ τῷ σπουδαίῳ. Πρότερον μὲν οὖν καὶ κυριώτερον τὸ εἶδος, οὐ μόνον δέ, ἀλλὰ τὸ σύνθετον, ἡ πρώτη οὐσία, τὸ αἰσθητὸν εἶδος τέλος ἐν ἑαυτῷ ἔχον καὶ κατὰ λόγον δημιουργούμενον ταῖς συναιτίοις ἀρχαῖς, καὶ οὐκ ἐξ ἑαυτοῦ τὸν λόγον ἐν τοῖς καθ' ἕκαστα συναρμόζων, ἀλλ' ἐκφαινόμενον μόνον, ἐν ἄλλῳ δὲ τὴν ἀρχὴν ἔχον, καὶ οὐκ ἐν μιᾷ ἁπλῶς ἐνεργείᾳ, ἢ λειτουργίᾳ τινὶ ἐκδηλούμενον, ἀλλ' ἐν εἴδει καὶ πολλοῖς καὶ διαφόροις ὀργάνοις, διαφόρως συνιστωμένοις πρὸς τὰς διαφόρους χρείας καὶ ἐνεργείας, ἀποτελούμενον. Τοῦτο δ' ἐστὶν ἡ θρεπτική, ἤτοι ἡ εἰδοποιὸς καὶ μορφωτική, ἢ ὀργανικὴ δύναμις, ἡ πρώτη ἀρχὴ πρὸς τὸ τέλος. Κατὰ ταῦτα δὲ ὀρθῶς καὶ ἔνιοι μεθερμηνευταὶ τῆς ἐντελεχείας ἀδυνατοῦντες ἄλλην τινὰ μάλα προσήκουσαν ἀποδοῦναι τὴν μορφὴν ἀπέδωκαν[6]). Ἐν τούτοις δ' ἐπικροτοῦμεν τοῖς ὑπὸ τοῦ Ἀνσιϊὼν εἰρημένοις, ὅτι πρώτη ἐντελέχειά ἐστιν ἡ ἀρχὴ ἡ ὀργανική, ἐνέργεια μηχανική, τυφλή, ἐν ἑαυτῇ τὸ τέλος ἔχουσα, ἐνέργεια συνεχὴς καὶ ἀέναος[7]) ἡ πρώτη καὶ γεννητικὴ ἀρχή[8]). Ἀλλ' ἐν πᾶσι τούτοις οὐχ ἅπτεται τοῦ εἴδους, ἐᾷ δ' ἡμᾶς ἐν τῇ ἀρχῇ τῇ ὀργανιζούσῃ. Εἰ οὖν τις ἔροιτο ἡμᾶς τί δ' ἔστιν αὕτη ἡ ἀρχή; εἴποιμεν ἂν ὅτι τὸ γιγνόμενον καὶ ἐκφαινόμενον εἶδος; δοκεῖ· οὐδὲ τις φθόνος[9]).

§ 3. Νῦν οὖν ῥᾷον ἄν τις κατανοήσειεν, εἴ τι συνείδησιν ἔχον ἡ πρώτη ἐντελέχειά ἐστιν. Ἀλλὰ μὴν οὐδὲ φαντάζεσθαι δυνατόν, εἴπερ

---

[6]) Οὐ πάνυ τοι δικαία δοκεῖ ἡμῖν ἡ κατὰ τῶν μεθερμηνευτῶν μομφὴ τοῦ Ἀνσιϊών· δικαιότερον δ' ἂν ἔφασκεν, εἰ ὡς μὴ πάνυ σαφῶς μεθερμηνεύσασιν αὐτοῖς ἐμέμφετο (d'une forme inintelligiblement .... tous anciens traducteurs σελ. 24).

[7]) «qui porte an elle-même le but» (σελ. 21) «une activité continuelle et sans relâche» (σελ. 23), «principe organisateur, et n'est qu'un effet machinal, aveugle ...» (σελ. 35), «ce principe premier et génerateur» (σελ. 27).

[8]) Μηδεὶς δ' ὑπολάβοι ὅτι ταῦτα λέγοντες μεμφόμεθα τῷ σαφέστερον τῶν ἐντυχόντων ἡμῖν τὸ πρᾶγμα διηκριβωμένῳ, ἀλλ' ὅτι εὐλαβούμενος, μή τις αὐτῷ ὡς ἀδίκως ἐγκαλοῦντι τοῖς τῷ εἴδει τὴν ἐντελέχειαν μεθερμηνεύσασι, καὶ οὐ σαφῶς τὸ πρᾶγμα ἐκθεμένοις, μέμψηται, ἀπέφυγε τὴν μορφὴν καὶ τὸ εἶδος. Σημειωτέον δ' ἐν παρόδῳ ὅτι καὶ ὁ Σέλλιγκ (τόμ. α'. τ. β'. μέρ. σελ. 402) ἐνέργειαν (actus) φησὶ τὴν ἐντελέχειαν μηδὲν περαιτέρω διορισάμενος, τὸ δὲ πρῶτον ὑποκείμενον, τὸ οὐκ ὄν, τὴν ἄμορφον ὕλην, καὶ οὐχ ὡς ἡμεῖς ἐκ τῶν τοῦ Ἀριστ. ὡς τὸ πρῶτον καθ' οὗ τἆλλα κατηγορεῖται.

[9]) Ὅρ. τὰ π. οὐσίας καὶ εἴδους ἡμῖν ἐκτεθειμένα.

ἡ συνείδησις μετ' αἰσθήσεως, ἡ δ' αἴσθησις δυνάμει ἐν τῇ πρώτῃ ἐντελεχείᾳ, καὶ ἐν κατωτέρῳ γένει τῷ τῶν ζώων μόνον. Διὸ ὀρθῶς ὁ Ἀνσιϊὼν ἀρχὴν εἴρηκεν αὐτήν, ἐξ ἑαυτῆς τὰ πρὸς τὸ ὡρισμένον τέλος ἀρυομένην καὶ οὐ θύραθεν[10])· ὅτι δὲ τὴν πρώτην ἐντελέχειαν τῇ ἐπιστήμῃ ἀποδέδωκεν ἀφήμαρτεν. Καὶ πρὸς μὲν τὸ τῶν ζώων γένος εἴη ἂν εὖ εἰρημένον· δυνάμει γάρ ἐστιν αἰσθητικὰ ἐν τῇ τῆς πρώτης ἐντελεχείας περιόδῳ, καὶ ἀνάλογον τοῦτο τῇ ἐπιστήμῃ οὐ καθὸ ἐντελέχεια, ἀλλὰ καθὸ αἴσθησις· ἡ γὰρ πρώτη ἐντελέχεια ἐνεργείᾳ ἐστὶν καὶ τῷ θεωρεῖν ἀνάλογον[11]). Ὅτι δ' αὖ τοῦ κυριωτάτου ηὐστόχησε μόνος ὁ Ἀνσιϊὼν ὧν ἡμεῖς ἴσμεν, ὁμολογητεόν· οὐδὲ στέργομεν δὲ τὰ τῷ Τρενδελεμβούργ εἰρημένα, ὅτι τεχνηέντως ἐκείνῳ ἐκ τῶν περὶ ψυχῆς βιβλίων ἡ ψυχὴ ὡς ἀρχὴ ὀργανική, γεννητική, θρεπτική, ἐν ἑαυτῇ τὸ τέλος ἔχουσα, καὶ καθ' ἑαυτὴν τελειουμένη παρεσκεύασται. Εἰ δὲ τινες ῥήσεις ἐν δυσαρμονίᾳ πρὸς τὰ ἐν τοῖς περὶ ψυχῆς εἰρημένα εὕρηνται, ἔδει τὰ χωρία ταῦτα ἀντιπαρατιθέναι· ἃ γὰρ παρατίθησιν οὐ διαρρήδην ἀντικείμενα ἐκπέφανται· εἰ δὲ μὴ πάντη ἁρμόζοντα, ἰστέον ὅτι οὐ πανταχοῦ περὶ τῆς πρώτης ἐντελεχείας ἡ ζήτησις, οὐδὲ νοοῦμεν δὲ πῶς ἄν τις ἐν καιροῖς συντόμως τὸ κεφάλαιον καὶ τὸν λόγον ὡς οἷόν τε ὀλίγοις, καὶ ἑνὶ μόνῳ ῥήματι μάλιστα ἐκθεῖσθαι δεομένοις, ἀπειροκάλως τε καὶ φορτικῶς διδασκαλίαν ὅλην παραθείη. Οἰόμεθα γοῦν ἱκανῶς δεδεῖχθαι ἐκ συμπάσης τῆς τοῦ Ἀριστοτέλους διδασκαλίας, ὅτι οὐ μόνον οὐ σύμφωνα, ἀλλὰ καὶ μάλιστα ὁμολογούμενα τὰ τῷ Ἀνσιϊὼν εἰρημένα τῇ τοῦ Ἀριστοτέλους διδασκαλίᾳ τυγχάνουσιν ὄντα[12]). Ἀλλ' ὁμολογητέον αὖ ὅτι τεχνηέντως καὶ λεπτολογῶν ὁ Ἀνσιϊὼν τυγχάνει ἐν τῷ π. ψυχ.

---

[10]) «Ce tirant d'elle-même et point du dehors les moyens par lequels elle y arrive» (σελ. 23).

[11]) Ἀληθῶς μὲν ὁ πρῶτος ὅρος τῆς ζωϊκῆς ζωῆς (la première condition de la vie animale, ὅρ. καὶ σελ. 35 ᾗ ζωοποιὸν ἀρχὴν αὐτὴν καλεῖ, le principe vivifiant de l'animal) ἡ πρώτη ἐντελέχειά ἐστιν, ἀλλ' οὐ καὶ τῇ ἐπιστήμῃ ἀνάλογον· ἡ γὰρ ἐπιστήμη δυνάμει ἐστὶ πρὸς τὸν μαθητὴν οὔπω ἀρξάμενον θεωρεῖν ἢ διδάσκεσθαι· εἰ δ' εἰρηκὼς ἐτύγχανε ῥητῶς πρὸς τὸν μαθητὴν ἀρξάμενον ἤδη θεωρεῖν, εἶχεν ἂν λόγον τὸ τοιοῦτο (ὅρ. σελ. 25). Δῆλον δ' ἐκ τῶν ἐν τῇ σελ. 27 εἰρημένων, ᾗ ταὐτόν φησι τῷ ὕπνῳ τὴν ἐπιστήμην, ταύτην δὲ τῇ θρεπτικῇ ψυχῇ (σελ. 25)· εἴρηται δ' ἀνωτέρω ὅτι ἀδύνατον τὴν ἐπιστήμην τῇ θρεπτικῇ ψυχῇ ἀνάλογον εἶναι, τῇ δ' αἰσθήσει. Εἰ δ' ἔξεστιν ἡμῖν καὶ ἐπὶ τοῦ τῶν φυτῶν γένους τὸ ἀνάλογον εἰπεῖν, εἴη ἂν πρὸς τὸ ποιῆσαι ἕτερον οἷον αὐτό· ὥστε πρὸς τὸ ὕστερον καὶ τελευταῖον ἡ ἐπιστήμη δυνάμει οὖσα τὸ θεωρεῖν, καθάπερ ἡ θρεπτικὴ δύναμις δυνάμει ἐστὶ παραγωγικὴ ἑτέρου οἷον αὐτό. Εἰ δὲ τὴν ἐπιστήμην κατὰ τὴν μεταφυσικὴν ζήτησιν ἐθέλοι τις προτέραν εἶναι, οὐκ ἴσμεν τὶ τὸ ἐμποδὼν καὶ πᾶν εἶδος πρότερον καὶ ἐνεργείᾳ εἶναι ἐν τῷ νῷ ὡς ἐν κεφαλαίῳ τιθέναι, οὐ μὴν καὶ ἀπολελυμένον καὶ αὐθυπόστατον· πλὴν περὶ γενέσεως ὁ λόγος καὶ τῶν ἐφεξῆς καὶ ὕστερον πρὸς ἡμᾶς.

[12]) Τρενδελ. π. ψυχ. σελ. 321 ᾗ φησιν ὅτι τὰ ὑπὸ τοῦ Ἀνισιϊὼν πεπονημένα τετεχνασμένα καὶ οὐ σύμφωνα τῇ κοινῇ χρήσει τοῦ ῥήματος τούτου, τῆς ἐντελεχείας· «artificiosa et universo huius vociis usui non consentanea». Ἀληθές;

Β'. 413 § 12 καὶ πάντη παρεννοῶν τὸν Ἀριστοτέλη· τὰ γὰρ «ἔνια μέρη» περιττά τινα δοκεῖ αὐτῷ καὶ μηδόλως συντελοῦντα πρὸς ὀργανισμόν, καὶ μὴ ἐπιζῶντα τὸ σῶμα[13])· τοῦτό δὲ φησιν ἐκφαίνεται ἐν τῇ ἰδέᾳ τοῦ πλοίου (παραδόξως πως), ἐν ᾧ ὅτε ὁ κυβερνήτης ἦν, ἕτερα ἦν καὶ ἐπιτήδεια καὶ δυνάμεις πρὸς τὸ ἔργον[14]), ὡς δ' ὁ κυβερνήτης περιπλέων πολλὰς χώρας πολλὰς γνώσεις κτᾶται, οὕτω καὶ ἡ ψυχὴ εὐφυὴς πρὸς τελειότητα καὶ ἀνάπτυξιν, παυόμενος δὲ τοῦ κυβερνᾶν εἰς ἄλλα ἔργα τρέπεται[15]). Τῷ αὐτῷ δὲ ἁμαρτήματι καὶ ὁ Τρενδελεμβούργ ὑπέπεσεν· ἀποδίδωσι γὰρ τὰ **ἔνια** ταῦτα μέρη ταῖς ἀνωτέραις νοητικαῖς δυνάμεσι[16]), καὶ τὴν ψυχὴν χωρίζεσθαι τοῦ σώματός φησι, καθάπερ ὁ κυβερνῶν τὸ πλοῖον[17]). Ἀλλ' ὁ Ἀριστοτέλης οὐ περὶ νοῦ ἢ νοητικῶν δυνάμεων, ἢ αἰσθητικῶν ποιεῖται λόγον, ἀλλὰ τὸν κοινὸν καὶ πρῶτον λόγον ζητεῖ, τοῦτον δ' οὔτ' ἐκτὸς τοῦ φυσικοῦ σώματος εὑρίσκει, οὔτε χωριστὸν ἢ δυνάμενον χωρίζεσθαι, ἀλλ' ἐν αὐτῷ τῷ σώματι καὶ ἐξ ἑαυτοῦ ἀναπτυσσόμενον, οὐχ ὑλικόν τι, ἀλλ' εἶδος μορφοῦν τὴν ὕλην, ἕξιν πρὸς τὸ τέλος καὶ τὴν τελικὴν ἐνέργειαν, καὶ οὐχὶ στέρησιν οἷα τὰ ὁμώνυμα· τῷ γὰρ πελέκει οὐ χωριστὸν τὸ εἶδος ἀλλὰ ταὐτὸ τῇ τμήσει· τοῦτο γὰρ αὐτῷ τὸ τέλος καὶ τῷ ὀφθαλμῷ ἡ ὅρασις, ἃ ἀποβαλόντα τὰς ἐνεργείας κατὰ τὸ ὁμώνυμον μόνον ἐστί, καὶ ὕλη ἄμορφος. «Ὡς μέν οὖν ἡ τμῆσις καὶ ἡ ὅρασις, οὕτω καὶ ἡ ἐγρήγορσις ἐντελέχεια, ὡς δ' ἡ ὄψις καὶ ἡ δύναμις τοῦ ὀργάνου, ἡ ψυχή, τὸ δὲ σῶμα τὸ δυνάμει ὄν»[18]). Δῆλον οὖν ἐκ τούτων ὅτι ἡ ἐντελέχεια τῇ ἐγρηγόρσει ἀνάλογον, καὶ ἐνεργείᾳ οὖσα, οὐ μέντοι ἡ ἐνέργεια αὐτή, ἀλλὰ τὸ εἶδος οὗ ἕνεκα πᾶσα κίνησις καὶ ἐνέργεια, οὐχ ἡ κίνησις αὐτὴ καὶ τὸ συνεργοῦν θερμόν, καὶ ἡ ὕλη, ἀλλ' οὗ χάριν ταῦτα πάντα, τὸ ἐν τούτοις καὶ διὰ τούτων προϊὸν σῶμα, καὶ σῶμα μεμορφωμένον ἐκ τοῦ δυνάμει σώματος τῆς ἀμόρφου ὕλης, ἡ ψυχὴ ἧς ἕνεκα ἐντελὲς τὸ σῶμα καὶ τελείως ἐνεργοῦν. Ὡς δ' ἐν τοῖς μέρεσιν, οὕτω καὶ ἐν τῷ ὅλῳ, ὡς ἐν τῷ ὀφθαλμῷ κόρη καὶ ὄψις, οὕτω καὶ ἐν τῷ ζώῳ ψυχὴ καὶ σῶμα· οὔτε δὲ κόρη ἢ ζῶον ἄνευ ὄψεως καὶ ψυχῆς, οὔτε μὴν ψυχὴ καὶ ὄψις ἄνευ τοῦ οἰκείου σώματος νοηθῆναι δύναται, ἀλλ' ἀχώριστα καὶ ἐνεργείᾳ ὄντα· ἀχώριστα μὲν ὡς ἐν συνθέτῳ τῷ τόδε τι, χωριστὰ δ' αὖ, εἴπερ εἶδός τε καὶ ὕλη ἐν παντὶ σώματι, τὸ δ' εἶδος πρότερον καὶ τιμιώτερον, καὶ ἐν ἄλλῳ ἐνεργείᾳ ὄντι τὴν ἀρχὴν ἔχον. Καὶ τοῦτ' ἐστὶν ὅ φησιν ὁ Ἀριστοτέλης τὸ μεριστὴν τὴν ψυχὴν εἶναι[19]). Τὰ δὲ προϊόντι αὐτῷ εἰρημένα ὅτι ἔνια μέρη καθ' αὑτὰ ἐντελεχῆ, καὶ ὅτι ταὐτὰ αὖ οὐδενός ἐστι σώματος ἐντελέχειαι[20]), καταληπτὰ καθίσταται, ὅταν τις ἀναλογίσηται ὅτι περὶ δύο παραγωγικῶν αἰτιῶν ὁ Ἀριστ. ποιεῖται λόγον, τῆς τε φύσεως καὶ τῆς τέχνης, καὶ τοῦτο δῆλον ἐκ τοῦ πελέκεως καὶ τοῦ ὀφθαλμοῦ ἢ τοῦ ὅλου ζώου. Ἐν μὲν οὖν τοῖς τέχνῃ γιγνομένοις εἴη ἂν ἐντελέχεια τῶν μερῶν, ὡς κοχλίας τις μηχανήματός τινος χωριστός, εἴη ἂν ἐντελεχείᾳ κοχλίας, ἀλλὰ μηδενὸς αὖ ἐντελέχεια, κοινὸν δὲ καὶ ὡς ὕλη χρηστὸν πρὸς διάφορα καὶ ποικίλα παρασκευάσματα· ὡσαύτως τεμάχιόν τι ξύλου οὕτως ἢ οὕτω παρεσκευασμένον εἴη ἂν ἐντελεχείᾳ τόδε τι τὸ σχῆμα, ἀλλὰ δυνάμει ἔσται τράπεζα ἢ κιβώτιον, ἢ θρόνος, ἢ ναῦς, καὶ εἴ τι ἕτερον. Ἐν δὲ τοῖς φύσει γιγνομένοις οὐχ οὕτως ἔχει τὸ πρᾶγμα, ἀλλ' ἀχώριστα τὰ μέρη καὶ ἐχόμενα τοῦ ὅλου εἴδους, οὐδὲ ποῦς ἢ χεὶρ ἢ ὀφθαλμὸς ἐκτὸς τοῦ λοιποῦ σώματος, ἀλλ' ὁμωνύμως. Οὕτως, ὥς γ' ἡμῖν δοκεῖ, αἴροιτ' ἂν τὸ δυσχερὲς τοῦ χωρίου, τὰ δ' ἄλλα διακενῆς καὶ τῇ συμπάσῃ διδασκαλίᾳ ἀντικείμενα, οὐχ ἥκιστα δὲ τοῖς τε πρότερον καὶ ὕστερον ἐν τῷ αὐτῷ μέρει εἰρημένοις. Πῶς γὰρ ἂν τις χωριστὴν τὴν θρεπτικὴν δύναμιν νοοῖ; τίνα δὲ τὰ μέρη ταῦτα, ὧν ἂν ἡ ψυχὴ χωρίζοιτο, καὶ πότε καὶ τίνος συμβαίνοντος; Ταύτας καὶ πλείστας ἀπορίας τὰ τοιαῦτα ἔχει, οὐδὲ πάρεστι διέξοδος. Τὸ δὲ κατωτέρω, ᾧ παραμένων ὁ Ἀνσιΐων ζητεῖ ἆραι δυσχερείας, ἃς ἡμεῖς, τἀληθὲς εἰπεῖν, οὐκ ἐνορῶμεν, καὶ αὐτοσχεδιάζων παράγεται καὶ αὐθαίρετά τινα ἐν οὐ καιρῷ προΐησιν, εὔληπτον, ὅταν αὖ τις ἀναμνησθῇ ὅτι ὁ Ἀριστ. ἀχώριστον τὴν ψυχήν, ἤτοι τὴν θρεπτικὴν καὶ γεννητικὴν δύναμιν, τοῦ σώματος τίθησιν. Εἰκότως δέ τινα βουλόμενος ἀνασκευάσαι εἴρηκε ταῦτα· φησὶ γάρ· **ἄδηλον**[21]). Ἢ οὖν τινα τὴν ψυχὴν θύραθεν εἰσιέναι ὥσπερ ὁ πλωτὴρ

[13]) «surabondant et qui n'organisent plus rien, ne puissent survivre au corps» (σελ. 31).

[14]) σελ. 32 κ. ε.

[15]) Αὐτόθι σελ. 33. Ἀλλὰ πρῶτον μὲν ὁ Ἀριστοτέλης ἐνταῦθα **ἄδηλον**, φησίν, ἐξ οὗ δῆλον ὅτι μᾶλλον αἴρει ἢ τίθησιν· εἶτα δὲ οὐ περὶ νοητικῆς ἐνεργείας ὁ λόγος, αὐδὲ περὶ καταπαύσεως προτέρας ἐνεργείας καὶ ἀρχῆς ἑτέρας· ἄτοπον γὰρ ἂν ἦν, εἰ τῆς πρώτης ἐνεργείας τὴν ψυχὴν ἔφασκε παύεσθαι, καὶ ἑτέρας ἄρχεσθαι· τοὐναντίον δέ, ὡς ἀνωτέρω εἴρηται, μηδόλως αὐτὴν παύεσθαι φησίν, ἀλλ' ἀεὶ λειτουργεῖν καὶ τρέφειν, καὶ μόνην τὴν αὔξησιν παύεσθαι, καὶ ταύτην δ' οὐχ ἁπλῶς. Πλὴν τούτων δέ, τὴν ψυχήν φησιν (ψυχὴν δ' ἐννοητέον τὴν θρεπτικὴν δύναμιν) οὐ μεριστὴν εἶναι· «ὅτι μὲν οὖν οὐκ ἔστιν ἡ ψυχὴ χωριστὴ τοῦ σώματος, ἢ μέρη τινὰ αὐτῆς, εἰ μεριστὴ πέφυκεν, οὐκ ἄδηλον» (§ 12).

[16]) σελ. 337 «quae summam mentem constituunt».

[17]) Αὐτόθι «animus a corpore separare posset salvus, qui enim navem regit, extrinsecus accedit, ut etiam discedere possit». Διέλαθεν, ὡς δοκεῖ, καὶ τὸν Τρενδελεμβούργ, ὅτι ἐνταῦθα οὐ περὶ πάσης ψυχῆς ὁ λόγος, ἀλλὰ περὶ τοῦ πρώτου ὑποκειμένου πᾶσι τοῖς ὀργανικοῖς καὶ ἀχωρίστου τῶν μερῶν, τὸ δ' ὄνομα ψυχὴ παραγαγὸν αὐτὸν ἠνάγκασεν ἀλλότρια καὶ τῶν ἐν τῷ περὶ ψυχῆς, καὶ πάσης τῆς τοῦ Ἀριστοτέλους διδασκαλίας ἀποφήνασθαι.

[18]) π. ψυχ. Β'. α'. § 11.

[19]) Αὐτόθ. § 12. «Εἰ μεριστὴ (ἡ ψυχὴ) πέφυκεν» ὅρ. καὶ Μετ. Ζ. ι'. 1035 β. 11 κ. ε. ἢ συντόμως, πλὴν ὡρισμένως καὶ ἀκριβῶς τὸ περὶ σώματος καὶ εἴδους καὶ ὕλης καὶ προτέρων καὶ ὑστέρων ἐκτέθειται.

[20]) Αὐτόθ. «ἐνίων γὰρ ἡ ἐντελέχεια τῶν μερῶν ἐστιν αὐτῶν οὐ μὴν ἀλλ' ἔνιά γε οὐδὲν κωλύει, διὰ τὸ μηθενὸς εἶναι σώματος ἐντελεχείας».

[21]) Αὐτόθ. 813. «Ἔτι δὲ ἄδηλον εἰ οὕτως ἐντελέχεια τοῦ σώματος ἡ ψυχὴ ὥσπερ πλωτὴρ πλοίου». Τὸ ἄδηλον μόνον φαμὲν ἔδει ἐμποδὼν γενέσθαι τῷ τε Τρενδελεμβούργ καὶ Ἀνσιΐών, πλὴν δὲ τούτου ἀνασκοπεῖν ὅτι καὶ ἐν τῷ πλοίῳ καὶ ἐκτὸς αὐτοῦ ὁ πλωτὴρ ὢν ἀεὶ χωριστός ἐστιν, καὶ οὐχ ὡς ἡ ἐνοικοῦσα καὶ πανταχοῦ ἐν τῷ σώματι διήκουσα ψυχή. Εἶτα ὁ μὲν πλωτὴρ ἄλλοτ' ἄλλως ἔχει κατὰ διαφόρους καὶ καιροὺς καὶ ὥρας, οἷον ἐν χειμῶνι καὶ σάλῳ καὶ νηνεμίᾳ, πῶς οὖν ταῦτα κατὰ τὸ ἀνάλογον ἀποδοτέα; ἀπρόσφορος ἄρα ἡ εἰκὼν οὐδ' ἀριστοτέλειος. Ἔτι δὲ θαυμαστότερον πρὸς τὸν Τρενδελεμβούργ, ὃς ἐκ διαμέτρου ἀντίθετα καὶ ἐν τῷ π. ψυχ. Α'. γ'. § 6 εἴρηκεν, ὑπερακοντίσας

πλοίου εἰρηκότα αἰνίττεται, ἢ τὸν Πλάτωνα καὶ τοὺς Πυϑαγορείους δογματίζοντας προϋπάρχειν τὰς ψυχὰς κατ' ἀξίαν ἐν τῷδε ἢ ἐκείνῳ τῷ σώματι· ὅ οὐ περαιτέρω ἀναζητεῖ, ἀλλ' ἱκανὸν δοκεῖ αὐτῷ εἰπεῖν ὅτι ἄδηλον· οὔτε γὰρ ἐμπειρίᾳ οὔτε διανοίᾳ διδασκόμενον, ἀλλ' ἐξ ὑποϑέσεων ἀναφυὲν πρῶτον παρὰ τοῖς Πυϑαγορείοις.

§ 4. Ἱκανῶς οὖν, ὥς γ' ἡμῖν δοκεῖ, περὶ τῆς πολυκρότου πρώτης ἐντελεχείας ἐζήτηται πρός τε τὴν περαιτέρω ζήτησιν καὶ πρὸς κατάληψιν τῶν ἐν τῷ α'. περὶ ψυχῆς βιβλίῳ δυσκαταγωνίστῳ διαλεκτικῇ δυνάμει πρὸς ἀνασκευὴν τῶν διαφόρων περὶ ψυχῆς ὁρισμῶν εἰρημένων. Φανερὸν γάρ, εἴπερ ψυχῆς τὸ πρῶτον ἡ εἰδοποιὸς καὶ κινητικὴ ἀκίνητος τῇ συνεργείᾳ ὕλης καὶ ϑερμοῦ καὶ ταῖς ἀρχαῖς ϑήλεος καὶ ἄρρενος τόδε, ἔν τε τῷ ποιητικῷ καὶ παϑητικῷ, τὸ ὡρισμένον καὶ συνειλημμένον εἶδος παράγουσα δύναμις, ὅτι οὔτε κινεῖσϑαι αὐτὴν ἐνδέχοιτ' ἄν, οὔτε πῦρ, οὔτε ἁρμονίαν, ἢ ἀέρα ἢ λεπτομερές τι σῶμα εἶναι, ἥκιστα δὲ μονάδα ἢ ἀριϑμόν, καὶ εἴτι ἕτερον τοῖς φυσιολόγοις καὶ φιλοσόφοις δέδοκται[22]). Ἀλλ' ὑπολείπεται, αὐτὴν καϑ' αὑτὴν τὴν ψυχὴν γνῶναι ἥτις εἴη· σωρὸν γὰρ παρεϑέμεϑα ῥημάτων, εἰ καὶ ἀναγκαίως ἔκ τε τῆς ἐμπειρίας καὶ τῶν ἀρχῶν τῶν ἐκ τῆς φιλοσοφίας, δύναμιν λέγοντες κινητικὴν καὶ εἰδοποιόν, καὶ τὸ συνειλημμένον καὶ πρώτην οὐσίαν τῶν φύσει γιγνομένων. Τίς οὖν ἡ δύναμις αὕτη; καὶ πῶς νῦν μὲν οὕτως νῦν δ' ἄλλως ἐνεργοῦσα ἄλλα προΐησι σώματα ἔν τε τοῖς φυτοῖς καὶ τοῖς ζώοις; τίν' ἡμῖν διέξοδον ὁ Ἀριστοτέλης ἐν τούτοις ὑποδείκνυσιν; ἐμπειρίαν φωνεῖ, ἡ δ' ἐμπειρία κίνησιν ἀγγέλλει, ἡ δὲ κίνησις ϑερμὸν συμπαραλαμβάνει, ὕλην δ' αὖ ὑποκειμένην ἐξ ἀνάγκης ταῦτα ζητεῖ, τέλος δέ, τὸ κεφάλαιον ἐν παντι γιγνομένῳ τῷ τε ὅλῳ καὶ τοῖς μέρεσι χάριν τοῦ ὅλου καϑορᾶται, τοῦτο δ' ἀεὶ κατὰ ταὐτὰ ἢ ὡς ἐπὶ τὸ πολὺ συμβαῖνον και οὐκ ἐκ τύχης ἢ ταὐτομάτου. Ταῦτα δέ, καὶ μάλιστα τὸ εὔλογον ἐν τῷ γίγνεσϑαι καϑ' ἕκαστον οὐ καταπονεῖ τὸν νοῦν τοῦ δαιμονίου ἀνδρός, ἀλλ' εἰς ἀρχὴν ὠϑεῖ ἐξ ἀρχῶν, καὶ ἐκ δευτέρων αἰτιῶν εἰς τὴν πρώτην αἰτίαν, καὶ ἀπὸ τῶν ἀπινδαλμάτων ἐπὶ τὸ ἀρχέτυπον, καὶ ἀπὸ τῶν νοητῶν καὶ σοφῶς πρὸς τέλος τὸ ἄριστον τεινόντων, πρὸς τὸν νοῦν τὸν πάνσοφον καὶ παντέλειον, τὸ ἐνεργείᾳ ἀεὶ ὄν, καὶ ζῶν καὶ ζωῆς πάσης πάροχον· πρὸ τούτου δὲ γόνυ κάμπτων καϑαπερεὶ ἀκαταμάχητός τις ἀριστεὺς καὶ ἀκάματος

μάλιστα καὶ οἰηϑεὶς ὅτι τὰ, «εἰ δὲ τοῦτ' ἐνδέχεται, καὶ ἐξελϑοῦσαν εἰσιέναι πάλιν ἐνδέχοιτ' ἄν», ὑπὸ χριστιανικῆς χειρὸς παρεμβεβλημένα, καὶ ἃ πρὸς ἀνασκευὴν τῶν λεγόντων τὴν ψυχὴν κινεῖν ἑαυτήν, ὡς ἴδια τοῦ Ἀριστοτέλους δόγματα ἡγησάμενος, καὶ τὸ ἄτοπον ὡς ἀληϑές, οὐ καλῇ τόλμῃ χρησάμενος (σελ. 247)· διὸ καὶ ὁ Βόνιτσ δικαίως ἐπιτιμᾷ αὐτῷ (Φιλολ. Ἑρμ. Βερολ. 1873).

22) Τὸ σπουδαῖον καὶ πολύτιμον τοῦ α'. π. ψυχ. βιβλίου τοῦ Ἀριστ. συνιστῶμεν τοῖς τοῖς αὐτοῦ πεπονημένοις ἐντρυφῆσαι μέλλουσι· πολλὴν γὰρ αἴγλην ἐπί τε τοῖς ἰδίοις καὶ τοῖς ξένοις δόγμασιν ἐπιχέει, καὶ ἀκράδαντα ἐπιχειρήματα πρὸς ἀνασκευὴν καὶ πολλῶν νεωτέρων φιλοσοφημάτων παρέχει. Εἰ δ' οὐ πάνυ τοι τοῖς πᾶσι προσιτὰ τυγχάνει τὰ ἐν αὐτῷ, μὴ ἀπαυδᾶν καὶ κορέννυσϑαι, ἀλλ' ἐνδελεχῶς ἐγκύπτειν· ἄρρητον γάρ τι κάλλος ἐξιὸν ὄψεται· οὐδὲ μὴν πρόσω χωρεῖν ἐπισπερχῶς, ἀλλὰ καὶ ταῖς συγγενέσιν αὐτῷ συγγραφαῖς συνομιλεῖν, εἰ δὲ μή, ϑῖνες ἄνυδροι, ϑάλασσά τ' ἠχήεσσα, καὶ Σκυϑικὸν κρύος, ἅ, πολλοῖς πολλὰ παρὰ γνώμην εἰρηκέναι πρόξενα γέγονεν.

ϑηρευτὴς τοῖς τῆς ἐμπειρίας ἴχνεσιν ἑπόμενος, καὶ δι' ἀβάτων διαδρομῶν, φωνεῖ «**πάντῃ πάντως ἐστὶ τῶν χαλεπωτάτων λαβεῖν τινα πίστιν περὶ αὐτῆς**»[23]). «**Πάντες ἄνϑρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει**»[24]), ἀλλ' οὐ καὶ πᾶν οἷόν τ' αὐτοῖς ἐξεπίστασϑαι, οὐδ' ἀνϑρώπινον πᾶν τὸ ποϑούμενον[25]).

§ 5. Νῦν οὖν, ὡς ἄνϑρωποι και ἀνϑρωπίνως λογιζόμενοι, καὶ οὐχ ἑνὶ πᾶσαν τὴν γνῶσιν ἀπονέμοντες, ἀναχωρῶμεν εἰς τοὺς ἐπιγιγνομένους, μή τι ἀκριβέστερον, προοδοποιήσαντος τοῦ Ἀριστοτέλους, ἀπεφήναντο. Καὶ δὴ **Θεόφραστον** τὸν μαϑητὴν καὶ διάδοχον αὐτοῦ τὰ τοῦ διδασκάλου στέργοντα καϑορῶμεν ὡς ἐπὶ τὸ πολύ[26]), σὺν τούτῳ δὲ καὶ ἅπασαν τὴν περιπατητικὴν σχολήν· τὴν δὲ **Στοὰν** ἧττον ἐμπειρικῶς βαδίζουσαν, πλην εἴ τι τῶν τοῦ συνόλου λειτουργιῶν (διανοητικοῦ καὶ αἰσϑητικοῦ) ἀνώνυμον ὀνόματι περιβεβλήκασιν. Τὸν δ' **Ἐπίκουρον** ὡσαύτως, ἧττον δὲ τοὺς **Σκεπτικοὺς** καὶ ἥκιστα τοὺς **Ἐκλεκτικούς**, μέχρι τοῦ **Πλωτίνου**, ὅς καὶ οὗτος οὐκ ἐμπειρικῶς, μᾶλλον δὲ δογματικῶς ἐκ τῆς παγκοσμίου ψυχῆς πλατωνίζων βαδίζει.

Οὕτως οὖν ἔν τε ἐϑνικοῖς καὶ χριστιανοῖς οὐδαμοῦ ἴσμεν τινὰ μεϑόδῳ χρώμενον αὐστηρᾷ καὶ ἐπ' ἀρχὴν ἰόντα, ἀπὸ τῶν καϑ' ἕκαστον καὶ ἡμῖν γνωρίμων ἐπὶ τὰ φύσει γνωριμώτερα καὶ καϑόλου τὴν διπλῆν ὁδὸν πορευόμενον, ἀλλ' ἢ τιϑέντας ψυχὴν μηδ' ἐρευνῶντας τὴν ἀρχὴν καὶ ὕπαρξιν αὐτῆς, καὶ τὸ αἰσϑητικὸν καὶ νοητικὸν μᾶλλον ἀποδιδόντας, μηδόλως δὲ τὸν χρόνον σκοποῦντας ὅτε οὔτε αἴσϑησις παροῦσα οὔτε νόησις ἀλλὰ ϱυνάμει ἀμφότερα, ἑτέρους δ' ἀμελοῦντας τῆς ἀρχῆς, περὶ τὸν χρόνον τῆς ἐκφάνσεως, ἢ τό γε ϑεῖον αὐτῆς καὶ ἀϑάνατον, ἢ τὴν προϋπαρξιν καὶ συνύπαρξιν τῷ σώματι, ἢ τὸ κατοικητήριον αὐτῆς ἐν τῷ σώματι, ἢ τὸν ἀριϑμὸν τῶν νοητικῶν δυνάμεων, ἐν τῷ οἰκείῳ καὶ ἀτόμῳ εἴδει διατρίβειν, πολλοὺς δ' αὖ εἴτε τῷ κύρει σπουδαίων ἀνδρῶν περὶ τὴν φιλοσοφίαν, εἴτε ταῖς ϑεοτεύκτοις γραφαῖς ἐρειδομένους εὐτελῆ τινα προβάλλειν, σπουδαῖα μὲν ἴσως τὴν διαλεκτικὴν δύναμιν, ἧττον δὲ τῇ ἐμπειρίᾳ βεβαιούμενα καὶ πειϑοῦς δημιουργά, εἰ μή τι καλλύναντες την λέξιν κατεπάδουσι τὰς ἐνϑουσιώσας ψυχὰς μουσικῶν τινων ἐπωδῶν δίκην[27]).

23) π. ψυχ. Α'. α'. § 2.

24) Μετ. Α'. α'. στίχ. 1.

25) Ὀρϑῶς δέ φησιν ὁ Ἀνσιϊών ὅτι ζητῶν αὐτὴν καϑ' αὑτὴν τὴν γεννητικὴν ψυχὴν (l'agent organisateur) ὁρίσαι, ἀπέτυχεν, ὥσπερ πάντες οἱ πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν ἐπιχειρήσαντες μεγαλοφυεῖς «Tous le grands genies qui avant et aprés lui l'on essayé: c'est le, non est mortale quod optas» σελ. 56).

26) Εἰ δέ τι περὶ τῆς τελευταίας διαφορᾶς τῆς νοητικῆς δυνάμεως καὶ τῆς αἰσϑητικῆς εἴρηκεν, ἐν τῷ οἰκείῳ τόπῳ ἐροῦμεν. Τὸ δὲ τὴν ψυχήν, πνεῦμα σύμφυτον συνεχές, φάναι, καὶ πανταχοῦ διῆκον, καὶ ἀπόσπασμα τοῦ Θεοῦ, αὐτῷ τῷ Ἀριστοτέλει ἤδη ἀνατέτραπται (Ὕβερβεγ τόμ. α'. σελ. 234). Ὡσαύτως δὲ καὶ τὸ λεπτομερὲς πνεῦμα τῶν Ἐπικουρείων (αὐτόϑ. σελ. 247). Εἰ δὲ πανταχοῦ διήκουσα ἡ ψυχὴ κατὰ τὸν Ἀριστοτέλη εἴρηται, ὡς εἶδος ἀχώριστον τοῦτο νοητέον καὶ οὐ πνεῦμα ἤ τι ἕτερον.

27) Παράδειγμα δ' ἔστω ὁ Τερτυλλιανὸς ὁ τὸ πολυϑρύλλητον ἐκεῖνο «credo quia absurdum est» ἐξενεγκών, καὶ ἕτεροι ἕλληνες τῇ ἀλληγορίᾳ χαίροντες, πλὴν τῶν πολλῶν περὶ τὸ μυστήριον τῆς ἁγίας Τριάδος ἀσχολουμένων καὶ

πλοίου εἰρηκότα αἰνίττεται, ἢ τὸν Πλάτωνα καὶ τοὺς Πυθαγορείους δογματίζοντας προϋπάρχειν τὰς ψυχὰς κατ' ἀξίαν ἐν τῷδε ἢ ἐκείνῳ τῷ σώματι· ὅ οὐ περαιτέρω ἀναζητεῖ, ἀλλ' ἱκανὸν δοκεῖ αὐτῷ εἰπεῖν ὅτι ἄδηλον· οὔτε γὰρ ἐμπειρίᾳ οὔτε διανοίᾳ διδασκόμενον, ἀλλ' ἐξ ὑποθέσεων ἀναφυὲν πρῶτον παρὰ τοῖς Ποθαγορείοις.

§ 4. Ἱκανῶς οὖν, ὥς γ' ἡμῖν δοκεῖ, περὶ τῆς πολυκρότου πρώτης ἐντελεχείας ἐζήτηται πρός τε τὴν περαιτέρω ζήτησιν καὶ πρὸς κατάληψιν τῶν ἐν τῷ α'. περὶ ψυχῆς βιβλίῳ δυσκαταγωνίστῳ διαλεκτικῇ δυνάμει πρὸς ἀνασκευὴν τῶν διαφόρων περὶ ψυχῆς ὁρισμῶν εἰρημένων. Φανερὸν γάρ, εἴπερ ψυχῆς τὸ πρῶτον ἡ εἰδοποιὸς καὶ κινητικὴ ἀκίνητος τῇ συνεργείᾳ ὕλης καὶ θερμοῦ καὶ ταῖς ἀρχαῖς θήλεος καὶ ἄρρενος τόδε, ἔν τε τῷ ποιητικῷ καὶ παθητικῷ, τὸ ὡρισμένον καὶ συνειλημμένον εἶδος παράγουσα δύναμις, ὅτι οὔτε κινεῖσθαι αὐτὴν ἐνδέχοιτ' ἄν, οὔτε πῦρ, οὔτε ἁρμονίαν, ἢ ἀέρα ἢ λεπτομερές τι σῶμα εἶναι, ἥκιστα δὲ μονάδα ἢ ἀριθμόν, καὶ εἴτι ἕτερον τοῖς φυσιολόγοις καὶ φιλοσόφοις δέδοκται[22]). Ἀλλ' ὑπολείπεται, αὐτὴν καθ' αὑτὴν τὴν ψυχὴν γνῶναι ἥτις εἴη· σωρὸν γὰρ παρεθέμεθα ῥημάτων, εἰ καὶ ἀναγκαίως ἔκ τε τῆς ἐμπειρίας καὶ τῶν ἀρχῶν τῶν ἐκ τῆς φιλοσοφίας, δύναμιν λέγοντες κινητικὴν καὶ εἰδοποιόν, καὶ τὸ συνειλημμένον καὶ πρώτην οὐσίαν τῶν φύσει γιγνομένων. Τίς οὖν ἡ δύναμις αὕτη; καὶ πῶς νῦν μὲν οὕτως νῦν δ' ἄλλως ἐνεργοῦσα ἄλλα προΐησι σώματα ἔν τε τοῖς φυτοῖς καὶ τοῖς ζώοις; τίν' ἡμῖν διέξοδον ὁ Ἀριστοτέλης ἐν τούτοις ὑποδείκνυσιν; ἐμπειρίαν φωνεῖ, ἡ δ' ἐμπειρία κίνησιν ἀγγέλλει, ἡ δὲ κίνησις θερμὸν συμπαραλαμβάνει, ὕλην δ' αὖ ὑποκειμένην ἐξ ἀνάγκης ταῦτα ζητεῖ, τέλος δέ, τὸ κεφάλαιον ἐν παντι γιγνομένῳ τῷ τε ὅλῳ καὶ τοῖς μέρεσι χάριν τοῦ ὅλου καθορᾶται, τοῦτο δ' ἀεὶ κατὰ ταὐτὰ ἢ ὡς ἐπὶ τὸ πολὺ συμβαῖνον και οὐκ ἐκ τύχης ἢ ταὐτομάτου. Ταῦτα δέ, καὶ μάλιστα τὸ εὔλογον ἐν τῷ γίγνεσθαι καθ' ἕκαστον οὐ καταπονεῖ τὸν νοῦν τοῦ δαιμονίου ἀνδρός, ἀλλ' εἰς ἀρχὴν ὠθεῖ ἐξ ἀρχῶν, καὶ ἐκ δευτέρων αἰτιῶν εἰς τὴν πρώτην αἰτίαν, καὶ ἀπὸ τῶν ἀπινδαλμάτων ἐπὶ τὸ ἀρχέτυπον, καὶ ἀπὸ τῶν νοητῶν καὶ σοφῶς πρὸς τέλος τὸ ἄριστον τεινόντων, πρὸς τὸν νοῦν τὸν πάνσοφον καὶ παντέλειον, τὸ ἐνεργείᾳ ἀεὶ ὄν, καὶ ζῶν καὶ ζωῆς πάσης πάροχον· πρὸ τούτου δὲ γόνυ κάμπτων καθαπερεὶ ἀκαταμάχητός τις ἀριστεὺς καὶ ἀκάματος

μάλιστα καὶ οἰηθεὶς ὅτι τὰ, «εἰ δὲ τοῦτ' ἐνδέχεται, καὶ ἐξελθοῦσαν εἰσιέναι πάλιν ἐνδέχοιτ' ἄν», ὑπὸ χριστιανικῆς χειρὸς παρεμβεβλημένα, καὶ ἃ πρὸς ἀνασκευὴν τῶν λεγόντων τὴν ψυχὴν κινεῖν ἑαυτήν, ὡς ἴδια τοῦ Ἀριστοτέλους δόγματα ἡγησάμενος, καὶ τὸ ἄτοπον ὡς ἀληθές, οὐ καλῇ τόλμῃ χρησάμενος (σελ. 247)· διὸ καὶ ὁ Βόνιτς δικαίως ἐπιτιμᾷ αὐτῷ (Φιλολ. Ἑρμ. Βερολ. 1873).

22) Τὸ σπουδαῖον καὶ πολύτιμον τοῦ α'. π. ψυχ. βιβλίου τοῦ Ἀριστ. συνιστῶμεν τοῖς τοῖς αὐτοῦ πεπονημένοις ἐντρυφῆσαι μέλλουσι· πολλὴν γὰρ αἴγλην ἐπί τε τοῖς ἰδίοις καί τοῖς ξένοις δόγμασιν ἐπιχέει, καὶ ἀκράδαντα ἐπιχειρήματα πρὸς ἀνασκευὴν καὶ πολλῶν νεωτέρων φιλοσοφημάτων παρέχει. Εἰ δ' οὐ πάνυ τοι τοῖς πᾶσι προσιτὰ τυγχάνει τὰ ἐν αὐτῷ, μὴ ἀπαυδᾶν καὶ κορέννυσθαι, ἀλλ' ἐνδελεχῶς ἐγκύπτειν· ἄρρητον γάρ τι κάλλος ἐξιὸν ὄψεται· οὐδὲ μὴν πρόσω χωρεῖν ἐπισπερχῶς, ἀλλὰ καὶ ταῖς συγγενέσιν αὐτῷ συγγραφαῖς συνομιλεῖν, εἰ δὲ μή, θῖνες ἄνυδροι, θάλασσά τ' ἠχήεσσα, καὶ Σκυθικὸν κρύος, ἅ, πολλοῖς πολλὰ παρὰ γνώμην εἰρηκέναι πρόξενα γέγονεν.

θηρευτὴς τοῖς τῆς ἐμπειρίας ἴχνεσιν ἑπόμενος, καὶ δι' ἀβάτων διαδρομῶν, φωνεῖ **«πάντῃ πάντως ἐστὶ τῶν χαλεπωτάτων λαβεῖν τινα πίστιν περὶ αὐτῆς»**[23]). **«Πάντες ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει»**[24]), ἀλλ' οὐ καὶ πᾶν οἷόν τ' αὐτοῖς ἐξεπίστασθαι, οὐδ' ἀνθρώπινον πᾶν τὸ ποθούμενον[25]).

§ 5. Νῦν οὖν, ὡς ἄνθρωποι και ἀνθρωπίνως λογιζόμενοι, καὶ οὐχ ἑνὶ πᾶσαν τὴν γνῶσιν ἀπονέμοντες, ἀναχωρῶμεν εἰς τοὺς ἐπιγιγνομένους, μή τι ἀκριβέστερον, προοδοποιήσαντος τοῦ Ἀριστοτέλους, ἀπεφήναντο. Καὶ δὴ **Θεόφραστον** τὸν μαθητὴν καὶ διάδοχον αὐτοῦ τὰ τοῦ διδασκάλου στέργοντα καθορῶμεν ὡς ἐπὶ τὸ πολύ[26]), σὺν τούτῳ δὲ καὶ ἅπασαν τὴν περιπατητικὴν σχολήν· τὴν δὲ **Στοὰν** ἧττον ἐμπειρικῶς βαδίζουσαν, πλὴν εἴ τι τῶν τοῦ συνόλου λειτουργιῶν (διανοητικοῦ καὶ αἰσθητικοῦ) ἀνώνυμον ὀνόματι περιβεβλήκασιν. Τὸν δ' **Ἐπίκουρον** ὡσαύτως, ἧττον δὲ τοὺς **Σκεπτικοὺς** καὶ. ἥκιστα τοὺς **Ἐκλεκτικούς**, μέχρι τοῦ **Πλωτίνου**, ὅς καὶ οὗτος οὐκ ἐμπειρικῶς, μᾶλλον δὲ δογματικῶς ἐκ τῆς παγκοσμίου ψυχῆς πλατωνίζων βαδίζει.

Οὕτως οὖν ἔν τε ἐθνικοῖς καὶ χριστιανοῖς οὐδαμοῦ ἴσμεν τινὰ μεθόδῳ χρώμενον αὐστηρᾷ καὶ ἐπ' ἀρχὴν ἰόντα, ἀπὸ τῶν καθ' ἕκαστον καὶ ἡμῖν γνωρίμων ἐπὶ τὰ φύσει γνωριμώτερα καὶ καθόλου τὴν διπλῆν ὁδὸν πορευόμενον, ἀλλ' ἢ τιθέντας ψυχὴν μηδ' ἐρευνῶντας τὴν ἀρχὴν καὶ ὕπαρξιν αὐτῆς, καὶ τὸ αἰσθητικὸν καὶ νοητικὸν μᾶλλον ἀποδιδόντας, μηδόλως δὲ τὸν χρόνον σκοποῦντας ὅτε οὔτε αἴσθησις παροῦσα οὔτε νόησις ἀλλὰ ϱυνάμει ἀμφότερα, ἑτέρους δ' ἀμελοῦντας τῆς ἀρχῆς, περὶ τὸν χρόνον τῆς ἐκφάνσεως, ἢ τό γε θεῖον αὐτῆς καὶ ἀθάνατον, ἢ τὴν προϋπαρξιν καὶ συνύπαρξιν τῷ σώματι, ἢ τὸ κατοικητήριον αὐτῆς ἐν τῷ σώματι, ἢ τὸν ἀριθμὸν τῶν νοητικῶν δυνάμεων, ἐν τῷ οἰκείῳ καὶ ἀτόμῳ εἴδει διατρίβειν, πολλοὺς δ' αὖ εἴτε τῷ κύρει σπουδαίων ἀνδρῶν περὶ τὴν φιλοσοφίαν, εἴτε ταῖς θεοτεύκτοις γραφαῖς ἐρειδομένους εὐτελῆ τινα προβάλλειν, σπουδαῖα μὲν ἴσως τὴν διαλεκτικὴν δύναμιν, ἧττον δὲ τῇ ἐμπειρίᾳ βεβαιούμενα καὶ πειθοῦς δημιουργά, εἰ μή τι καλλύναντες την λέξιν κατεπάδουσι τὰς ἐνθουσιώσας ψυχὰς μουσικῶν τινων ἐπῳδῶν δίκην[27]).

---

23) π. ψυχ. Α'. α'. § 2.

24) Μετ. Α'. α'. στίχ. 1.

25) Ὀρθῶς δέ φησιν ὁ Ἀνσιῖών ὅτι ζητῶν αὐτὴν καθ' αὑτὴν τὴν γεννητικὴν ψυχὴν (l'agent organisateur) ὁρίσαι, ἀπέτυχεν, ὥσπερ πάντες οἱ πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν ἐπιχειρήσαντες μεγαλοφυεῖς «Tous le grands genies qui avant et après lui l'on essayé: c'est le, non est mortale quod optas» σελ. 56).

26) Εἰ δέ τι περὶ τῆς τελευταίας διαφορᾶς τῆς νοητικῆς δυνάμεως καὶ τῆς αἰσθητικῆς εἴρηκεν, ἐν τῷ οἰκείῳ τόπῳ ἐροῦμεν. Τὸ δὲ τὴν ψυχήν, πνεῦμα σύμφυτον συνεχές, φάναι, καὶ πανταχοῦ διῆκον, καὶ ἀπόσπασμα τοῦ Θεοῦ, αὐτῷ τῷ Ἀριστοτέλει ἤδη ἀνατέτραπται (Ὕβερβεγ τόμ. α'. σελ. 234). Ὡσαύτως δὲ καὶ τὸ λεπτομερὲς πνεῦμα τῶν Ἐπικουρείων (αὐτόθ. σελ. 247). Εἰ δὲ πανταχοῦ διήκουσα ἡ ψυχὴ κατὰ τὸν Ἀριστοτέλη εἴρηται, ὡς εἶδος ἀχώριστον τοῦτο νοητέον καὶ οὐ πνεῦμα ἤ τι ἕτερον.

27) Παράδειγμα δ' ἔστω ὁ Τερτυλλιανὸς ὁ τὸ πολυθρύλλητον ἐκεῖνο «credo quia absurdum est» ἐξενεγκών, καὶ ἕτεροι ἕλληνες τῇ ἀλληγορίᾳ χαίροντες, πλὴν τῶν πολλῶν περὶ τὸ μυστήριον τῆς ἁγίας Τριάδος ἀσχολουμένων καὶ

Νῦν δ' ἕπεται η χορεία τῶν Σχολαστικῶν, ὧν αὖ οὐδείς τὴν ἀριστοτέλειον ὁδὸν εἶσιν, ἀλλ' ἐπιμελοῦνται οἱ μὲν τὰ ἀριστοτέλεια ταῖς χριστιανικαῖς ἀρχαῖς και δόγμασιν ἀναμίξαι, οἱ δὲ τὰ πλατωνικά [28]), καὶ τοῦτον τὸν τρόπον παρέρχεται ὁ Μεσαίων οὐδὲν γενναῖον ἐπὶ τοῦ σπουδαίου τούτου προβλήματος ἐξενεγκών, μέχρι τῶν νεωτέρων χρόνων ὅτι ἀπειρηκὼς ὁ ἄνθρωπος ἐκ τῆς αὐχμηρᾶς λογικῆς τῶν προγεγενημένων πορείας ἐπὶ τὴν ἀσφαλῆ καὶ ἀληθῶς ἀριστοτέλειον ὁδὸν ἀνέκαμψε, καὶ ἀνέψυξεν ἐν τῶν ἀτρύτων ἐν τῇ ῥηματολογίᾳ πόνων.

Νῦν οὖν πρὸ γιγάντων τῆς φιλοσοφίας ἱστάμεθα, ὡς εἰώθασιν αὐτοὺς καλεῖν, πρὸς οὕς οὔπω ἀντεπεξελθεῖν καιρός· ὅταν δ' ᾖ, τότε καὶ περὶ αὐτῶν ποιησόμεθα λόγον, ὅθ' ἅμα και τὰ λοιπὰ τῆς ψυχῆς μέρη πραγματευσόμεθα· νῦν δ' ἐπέχομεν καὶ καιροῖς πειθόμενοι τελευτῶμεν, τὴν περὶ ὁρισμοῦ τῆν ψυχῆς πραγματείαν παντὶ σπουδαιοτέρῳ ἀνδρὶ προτιθέντες, καὶ ἐπιεικῶς πᾶσαν κρίσιν ἀναμένοντες, τῷ δ' εὐλόγως ἐλέγξοντι καὶ χάριν ὁμολογήσοντες.

Γρηγορίου τοῦ Νύσσης διαλεκτικώτερον ἔχοντος και ἐκτενέστερον τὸ προκείμενον πραγματευσαμένου. Γνωστὸν δὲ καὶ τὸ Κλήμεντος τοῦ Ἀλεξανδρέως «κυριώτερον οὖν τῆς ἐπιστήμης ἡ πίστις, καὶ ἔστιν αὐτῆς κριτήριον».

28) Εἴ τι δ' ὁ Ἀβερρόης ὁ μάλα τ' ἀριστοτέλεια δόγματα συνεὶς περὶ τοῦ νοῦ εἴρηκεν, εἰς ἑτέρους καιρούς ἀναβαλλόμεθα, καθὰ καὶ περὶ Θωμᾶ τοῦ Ἀκινάτου· τὰ γὰρ περὶ ἐντελεχείας εὐτελῆ· ὡσαύτως δὲ περὶ τοῦ Αὐγουστίνου.

Πιστεύομεν συγγνώμης παρὰ τοῖς ἀναγνώσταις τυχεῖν, εἴ τι τυπογραφικὸν ἁμάρτημα διέλαθεν ἡμᾶς· ἀδύνατον γὰρ τὸ ἀναμάρτητον, καὶ δὴ ἐν γῇ ἀλλοτρίᾳ, ἧς τὸ ἐργατικὸν ἥκιστα γινώσκουσιν ἃ μόλις ἀναγινώσκουσιν.

